
HARVARD
UNIVERSITY
LIBRARY


SIGILLVM ACADEMIAE HARVARDIANAE IN NOV ANG
CHRISTO ET ECCLESIAE
VE RI TAS

# XENOPHONTIS

# DE RE EQUESTRI

## LIBELLUS

---

RECENSUIT

VINCENTIUS TOMMASINI

---

BEROLINI
APUD WEIDMANNOS
MCMII.


# PRAEFATIO.

Xenophontei De re equestri libelli codices quantum scio exstant XX; de quorum cognatione et auctoritate uberius in dissertatiuncula seorsum edita[1]) dixi: hic summas res attingere satis erit.

Bis continetur libellus in cod. Vindobonensi IV 34 chart. saec. XVI : f $18^v$—$38^v$ (R) et f. $138^r$—$148^r$ (A). Horum exemplorum alterum (A) inter omnia quae libri manu scripti exhibent praestantissimum est existimandum, quod lacunam ceteris omnibus communem VI 10 *παρατηρεῖν—πονεῖν* expleat, genuinam praeterea lectionem plerumque exhibeat.

Codex B unus ad A propius accedit quocum et illud *παρατηρεῖν* saltem VI 10 servatum habet et nonnullis aliis locis contra lectiones vulgatas consentit.

Ceteros libros, qui VI 10 *παρωξύνθαι* vel *παροξύνθαι* praebent, in quattuor familias distribuendos esse docui. Pertinent ad I : D, L; ad II : F (unde RN descripti sunt), V, Q, O, S, Z; ad III : M a quo, ut videtur, $M^a M^b$E manarunt; ad IV : G, K, I, P et H qui huius libelli fragmentum tantum, a verbo *ἐξεργάζεται* IX 4 usque ad finem, continet.




1) Prolegomena ad Xenoph. libellum de re equ. in Studi Italiani di Filologia classica vol. X.

Fuerunt igitur AB editionis meae quasi fundamentum, ceteris tamen ad eorum vitia procuranda utendum duxi. Varias lectiones e codicibus Villoisoni, Victorii, Gailii, Meadii, Leunclavii editionibus adscriptas referre inutile censui.

In adnotatione, praeter AB, principem librum uniuscuiusque familiae, DFMG, exhibui, ceterorum non nisi lectiones memoratu dignas rettuli. In Appendicem reieci omnia quae vel erronea vel futtilia mihi visa sunt. Singulorum codicum accentus, spiritus falsos vel praetermissos, iota mutum falso additum vel omissum, verborum litteras prave vel disiunctas vel coniunctas plerumque notare supersedi.

Testimonia attuli ea tantum quae procul dubio ad hunc libellum spectare atque ad codicum lectionem confirmandam vel emendandam valere existimavi. Quod ad Pollucem pertinet, editione critica usus sum quam Ericus Bethe confecit[1]; Hippiatricorum illa qua sola adhuc frui nobis licet, quam Grynaeus Basileae 1537 procuravit. At Eugenius Oder, vir humanissimus, qui novam editionem Hippiatricorum parat, de codicum optimae notae lectione me benigne certiorem fecit.

Etsi satis emendatiorem verborum contextum, libris manu scriptis partim nunc primo partim denuo accuratius perscrutatis, mihi edere liceat, cave credas me omnia expedivisse confiteri. Supersunt loci nonnulli vel lacunosi vel corrupti quibus neque codicum auxilio neque satis credibilibus coniecturis mederi potui; nonnunquam codicum scriptura quam, ne a vero longius aberrandi periculum adirem, secutus sum, etsi non vitiosa omnino, genuina tamen non videtur. Velut XI 8, ubi cum A: *ἐπὶ τῷ τοιούτῳ εἴδει ἱππαζομένων ἵππων* scripsi, emendationem: *ἐπὶ τῶν τοιούτων δὲ ἱππαζόμενοι ἵππων* ab Hermanno Diels ex-

---

1) Pollucis Onomasticon e codicibus ab ipso collatis denuo edidit et adnotavit Ericus Bethe. Fasciculus prior. Lipsiae MCM.

cogitatam (qui *ΕΙΔΕΙ* ex *ΝΔΕ* ortum putat), similem Leunclavii illi: *τῶν τοιούτων ἤδη δὲ ἱππαζόμενοι ἵππων*, qua vulgatam scripturam *τῶν τοιούτων ἤδη δὲ ἱππαζομένων ἵππων* corrigere conatus erat, in orationis contextum recipere non sum ausus.

Quomodocumque haec res gesta esse videbitur, facere non possum quin viris doctis, qui me eximia doctrina atque liberalitate ad hanc novam recensionen perficiendam edendamque adiuvarunt, magistris meis Aeneae Piccolomini atque Hermanno Diels maximas quas habeo gratias, agam.

Scribebam Berolini,
mense Martio 1902. **Vincentius Tommasini.**

# SIGLORUM CONSPECTUS.

A = Vindobonensis IV 37, saec. XVI 138ʳ—148ʳ.
B = Vat. graec. 989, saec. XIV.
D = Vat. graec. 1334, saec. XV.
L = Lipsiensis (Bibl. Senat. n⁰ IX), saec. XIV.
F = Laurentianus LXXX 13, saec. XIV.
R = Vindobonensis IV 37, saec. XVI 18ᵛ—28ᵛ.
N = Parisinus 1643, saec. XV.
V = Urbinas graec. 93, saec. XV.
Q = Vindobonensis V 95, saec. XIV.
O = Oxoniensis Bodl. Canon. 39, saec. XIV.
S = Londinensis 5110, saec. XV.
Z = Phill. 3086, saec. XVI.
M = Marcianus 511, saec. XIII.
Mᵃ = Marcianus 368, saec. XV.
E = Laurentianus LV 22, saec. XIV.
G = Laurentianus LV 21, saec. XIV.
K = Vat. graec. 1619, saec. XV.
I = Laurentianus „Conventi soppressi“ 110, saec. XV.
P = Perusinus B 34, saec. XV.
H = Parisinus 2955, saec. XV.
a = ABDFMG praeter codicem vel codices antea nominatos.

Nominum compendia: Cour. = Courier, Dind. = L. Dindorf Leuncl. = Leunclavius, Schn. = Schneider, Steph. = Stephanus.

# ΠΕΡΙ ΙΠΠΙΚΗΣ.

## I.

1 *Ἐπειδὴ διὰ τὸ συμβῆναι ἡμῖν πολὺν χρόνον ἱππεύειν οἰόμεθα ἔμπειροι ἱππικῆς γεγενῆσθαι, βουλόμεθα καὶ τοῖς νεωτέροις τῶν φίλων δηλῶσαι, ᾗ ἂν νομίζομεν αὐτοὺς ὀρθότατα ἵπποις προσφέρεσθαι. συνέγραψε μὲν οὖν καὶ Σίμων περὶ ἱππικῆς, ὃς καὶ τὸν κατὰ τὸ Ἐλευσίνιον Ἀθήνησιν ἵππον χαλκοῦν ἀνέθηκε καὶ ἐν τῷ βάθρῳ τὰ ἑαυτοῦ ἔργα ἐξετύπωσεν· ἡμεῖς γε μέντοι ὅσοις συνετύχομεν ταὐτὰ γνόντες ἐκείνῳ, οὐκ ἐξαλείφομεν ἐκ τῶν ἡμετέρων, ἀλλὰ πολὺ ἥδιον παραδώσομεν αὐτὰ τοῖς φίλοις, νομίζοντες ἀξιοπιστότεροι εἶναι, ὅτι κἀκεῖνος κατὰ ταὐτὰ ἡμῖν ἔγνω ἱππικὸς ὤν· καὶ ὅσα δὴ παρέλιπεν, ἡμεῖς πειρασόμεθα δηλῶσαι.*

*Πρῶτον δὲ γράψομεν, ὡς ἄν τις ἥκιστα ἐξαπατῷτο ἐν ἱππωνίᾳ. τοῦ μὲν τοίνυν ἔτι ἀδαμάστου πώλου δῆλον ὅτι τὸ σῶμα δεῖ δοκιμάζειν· τῆς γὰρ ψυχῆς οὐ πάνυ*

---

Testimonia: 5 Hierocles (Hippiatrica p. 3) *τά τε Σίμωνος ἀκούεις τοῦ παλαιοῦ τοὺς τῆς ἱππασίας αὐτοῦ τρόπους ἐν τῷ παρ' Ἀθηναίοις Ἐλευσινίῳ χαράξαντος καὶ σημήναντος ἐν τοῖς σχήμασι.* 7 Arrianus de ven. I 4 *ἐπεὶ καὶ αὐτὸς ἐκεῖνος* (sc. *Ξενοφῶν*) *ἃ Σίμωνι περὶ ἱππικῆς ἐνδεῶς λελεγμένα ἦν φήθη δεῖν ἀναγράψαι, οὐχὶ ἔριδι τῇ πρὸς τὸν Σίμωνα, ἀλλ' ὅτι ὠφέλιμα ἐπ' ἀνθρώπους ἐγίγνωσκεν.*

Varia Lectio: 3 *νομίζομεν* A: *νομίζωμεν* cett. ‖ 5 *Σίμων* om. A | *τὸ* om. A ‖ 6 *Ἀθήνησιν* uncis inclusit Dind.: *Ἀθήνησιν Ἐλευσίνιον* Cobet NL. p. 781 ‖ 7 *βαράθρῳ* G | *γε*] *τε* A | ⟨*ἐν*⟩ *ὅσοις* Steph. ‖ 8 *ἐξαλείψομεν* Cobet ‖ 10 *ἀξιοπιστότεροι* DF: *ἀξιοπιστότερον* LN: *ἀξιοπιστότερα* ABMG ‖ 11 *ταὐτὰ* om. A | *ὅσον* A ‖ 14 *ἱππωνίᾳ* Dind.: *ἱππωνείᾳ* libri | *ἔτι* om. AB.

2 σαφῆ τεκμήρια παρέχεται ὁ μήπω ἀναβαινόμενος. τοῦ
γε μὴν σώματος πρῶτόν φαμεν χρῆναι τοὺς πόδας σκο-
πεῖν. ὥσπερ γὰρ οἰκίας οὐδὲν ὄφελος ἂν εἴη, εἰ τὰ ἄνω
πάνυ καλὰ ἔχοι, μὴ ὑποκειμένων οἵων δεῖ θεμελίων,
οὕτω καὶ ἵππου πολεμιστηρίου οὐδὲν ἂν ὄφελος εἴη,
οὐδ᾽ εἰ τἆλλα πάντα ἀγαθὰ ἔχοι, κακόπους δ᾽ εἴη·
3 οὐδενὶ γὰρ ἂν δύναιτο τῶν ἀγαθῶν χρῆσθαι. πόδας δ᾽
ἄν τις δοκιμάζοι πρῶτον μὲν τοὺς ὄνυχας σκοπῶν· οἱ
γὰρ παχεῖς πολὺ τῶν λεπτῶν διαφέρουσιν εἰς εὐποδίαν·
ἔπειτα οὐδὲ τοῦτο δεῖ λανθάνειν, πότερον αἱ ὁπλαί εἰσιν
ὑψηλαὶ [ἢ ταπειναὶ] καὶ ἔμπροσθεν καὶ ὄπισθεν ἢ χαμη-
λαί. αἱ μὲν γὰρ ὑψηλαὶ πόρρω ἀπὸ τοῦ δαπέδου
ἔχουσι τὴν χελιδόνα καλουμένην, αἱ δὲ ταπειναὶ ὁμοίως
βαίνουσι τῷ τε ἰσχυροτάτῳ καὶ τῷ μαλακωτάτῳ τοῦ πο-
δός, ὥσπερ οἱ βλαισοὶ τῶν ἀνθρώπων· καὶ τῷ ψόφῳ
δὲ ἔφη Σίμων δήλους εἶναι τοὺς εὔποδας, καλῶς λέγων·
ὥσπερ γὰρ κύμβαλον ψοφεῖ πρὸς τῷ δαπέδῳ ἡ κοίλη
4 ὁπλή. ἐπεὶ δὲ ἠρξάμεθα ἐντεῦθεν, ταύτῃ καὶ ἀναβησό-
μεθα πρὸς τὸ ἄλλο σῶμα. δεῖ τοίνυν καὶ τὰ ἀνωτέρω
μὲν τῶν ὁπλῶν κατωτέρω δὲ τῶν κυνηπόδων ὀστᾶ μήτε

---

9 Poll. I 194 ἡ δὲ ποδῶν ἀρετὴ εὐποδία. 11 Poll. I 191 ὁπλαὶ πλήρεις, σαρκώδεις, λεῖαι, ὁμαλαί· Ξενοφῶν δ᾽ αὐτὰς χαμηλὰς καλεῖ. 13 Hesychius χελιδών: τὸ κοῖλον τῆς ὁπλῆς τῶν ἵππων. Poll. I 188 ὁπλαὶ κοῖλαι, ὡς εἶναι ἐν βάθει τὴν χελιδόνα καὶ μηδὲν αὐτὴν τῶν ἐκ τοῦ ἐδάφους λυπεῖν. ἡ γὰρ τοιαύτη ὁπλὴ ὥσπερ κύμβαλον, φησὶν ὁ Ξενοφῶν, πρὸς τὸ δάπεδον ψοφεῖ. Apsyrtus p. 253 οἱ κάτωθεν κοίλην ἔχοντες καὶ τὸν ὄνυχα παχὺν καὶ ἐν τῷ περιπάτῳ ψόφον ποιοῦντες ἄδρομοί (εὔδρομοι Jacobs) τε καὶ ἄκεντροι ἐν τῇ ἱππασίᾳ. 15 Poll. II 193 ῥαιβοὺς δὲ καλοῦσιν οἷς καμπύλα εἰς τὸ ἔνδον τὰ σκέλη, βλαισοὺς δὲ οἷς τὸ ἀπὸ τῶν γονάτων εἰς τὸ ἔξω ἀπέστραπται· καὶ τὸ μὲν Ἀρχίλοχος, τὸ δὲ Ξενοφῶν λέγει. 19 Hippiatr. p. 262 ὅσοι δὲ ἐν τοῖς μεσοκυνίοις τὰ ὀστᾶ ὀρθὰ ἔχουσιν, ἄγαν κακοπερίπατοί εἰσι καὶ τὸν ἀναβάτην φέροντες συγκόπτουσι.

3 ⟨οὐδ᾽⟩ εἰ Richards (*Classical Review* XI p. 20) qui cum Cobeto insequens οὐδ᾽ (6) delendum dicit ‖ 4 πάνυ om. A ‖ 6 τἆλλα] τὰ μὲν ἄλλα Cobet ‖ 11 ἢ ταπειναὶ uncis incl. Dind. | ἢ χαμηλαί om. A ‖ 13 ταπειναὶ] χαμηλαὶ Richards ‖ 16 δὲ ἔφη AB: δέ φησι cett. ‖ 17 τὸ δάπεδον (ον in ras., fuit δαπέδῳ) G.

ἄγαν ὀρθὰ εἶναι ὥσπερ αἰγός· ἀντιτυπώτερα γὰρ ὄντα
κόπτει τε τὸν ἀναβάτην καὶ παραπίμπραται μᾶλλον τὰ
τοιαῦτα σκέλη· οὐδὲ μὴν ἄγαν ταπεινὰ τὰ ὀστᾶ δεῖ
εἶναι· ψιλοῖντο γὰρ ἂν καὶ ἑλκοῖντο οἱ κυνήποδες εἴτ'
ἐν βώλοις εἴτ' ἐν λίθοις ἐλαύνοιτο ὁ ἵππος. τῶν γε μὴν 5
κνημῶν τὰ ὀστᾶ παχέα χρὴ εἶναι· ταῦτα γάρ ἐστι στή-
ριγγες τοῦ σώματος· οὐ μέντοι φλεψί γε οὐδὲ σαρξὶ
παχέα· εἰ δὲ μή, ὅταν ἐν σκληροῖς ἐλαύνηται, ἀνάγκη
αἵματος ταῦτα πληροῦσθαι καὶ κρισσοὺς γίγνεσθαι, καὶ
παχύνεσθαι μὲν τὰ σκέλη, ἀφίστασθαι δὲ τὸ δέρμα.
χαλῶντος δὲ τούτου πολλάκις καὶ ἡ περόνη ἀποστᾶσα
χωλὸν ἀπέδειξε τὸν ἵππον. τά γε μὴν γόνατα ἢν βαδί- 6
ζων ὁ πῶλος ὑγρῶς κάμπτῃ, εἰκάζοις ἂν καὶ ἱππεύοντα
ὑγρὰ ἕξειν τὰ σκέλη· πάντες γὰρ προϊόντος τοῦ χρό-
νου ὑγροτέρως κάμπτουσιν ἐν τοῖς γόνασι. τὰ δὲ ὑγρὰ
δικαίως εὐδοκιμεῖ· ἀπταιστότερον γὰρ καὶ ἀκοπώτερον
τὸν ἵππον τῶν σκληρῶν σκελῶν παρέχει. μηροί γε μέν- 7
τοι οἱ ὑπὸ ταῖς ὠμοπλάταις ἢν παχεῖς ὦσιν, ἰσχυρότε-

---

6 Poll. I 220 ἐν τοῖς ἀντιτύποις πάσχουσιν αἱ κνῆμαι, ἃς Ξενοφῶν καλεῖ στήριγγας τοῦ σώματος. 9 Poll. I 191 κιρσοὺς περὶ τὰς κνήμας ἔχων culpatur. 11 Schol. Poll. I 187 τῷ γὰρ ἐπελαύνεσθαι ἐν τοῖς τραχέσιν ἀσυνήθεις ὄντας ψιλοῦνται μὲν αἱ κνῆμαι καὶ ἑλκοῦνται, μάλιστα δὲ τὴν παρακερκίδα, ἣν περόνην ὁ Ξενοφῶν καλεῖ. Apsyrtus p. 40 ὅταν δὲ συμβῇ ἐν τοῖς γόνασι καὶ ταῖς κνήμαις χαλάσματα γενέσθαι καὶ τὰ μεσοκύνια χθαμαλά, γιγνώσκειν δεῖ ὅτι ἡ περόνη ἀφίσταται ἐν αὐτοῖς καὶ ἔστι χωλός. Hippiatr. p. 263 ῥαδίως .... συμβαίνει ἐν ταῖς κνήμαις ἀποστῆναι τὰς περόνας καὶ οὕτως τὰ μεσοκύνια χθαμαλὰ γίνεσθαι. 12 Poll. I 188 γόνυ λαγαρὸν πρὸς τὴν συγκαμπήν, σκέλη ὑγρά. Ibid. 191 ὁ γὰρ ὑγρῶς κάμπτων τὰ γόνατα ἀκοπώτερον καὶ ἀπταιστότερον βαδίζει. Hippiatr. p. 262 ἀγαθοὶ καὶ οἱ τὰ γόνατα ὑγρὰ ἔχοντες καὶ εὐκαμπῆ ἐν τῇ ἱππασίᾳ· εἰσὶ γὰρ ἀπταιστότεροι καὶ ἀκίνδυνοι τῷ ἀναβάτῃ ὑπάρχουσι, καὶ ἀκοπώτεροι δέ εἰσι ἐν τοῖς ἔργοις τῶν σκληρὰ ἐχόντων καὶ ὅμοια τοῖς ὀρθοκώλοις ἢ πασσάλοις λεγομένοις. 17 Poll. I 193 οἱ πρόσθεν πόδες καλοῖντ' ἂν . . . οἱ ὑπὸ ταῖς ὠμοπλάταις . . . . . οἱ δὲ λοιποὶ . . . οἱ ὑπὸ τὴν οὐράν (cf. § 14).

8 παχέα Cour.: παχείαις libri ‖ 9 κρισσοὺς AB et marg. L: κρείσσους cett.: κιρσούς Poll.

ροί τε καὶ εὐπρεπέστεροι ὥσπερ ἀνδρὸς φαίνονται. καὶ
μὴν στέρνα πλατύτερα ὄντα καὶ πρὸς κάλλος καὶ πρὸς
ἰσχὺν καὶ πρὸς τὸ μὴ ἐπαλλὰξ ἀλλὰ διὰ πολλοῦ τὰ σκέλη
8 φέρειν εὐφυέστερα. ἀπό γε μὴν τοῦ στέρνου ὁ μὲν αὐ-
χὴν αὐτοῦ μὴ ὥσπερ κάπρου προπετὴς πεφύκοι, ἀλλ'
ὥσπερ ἀλεκτρυόνος ὀρθὸς πρὸς τὴν κορυφὴν ἥκοι, λα-
γαρὸς δὲ εἴη τὰ κατὰ τὴν συγκαμπήν, ἡ δὲ κεφαλὴ
ὀστώδης οὖσα μικρὰν σιαγόνα ἔχοι. οὕτως ὁ μὲν τράχηλος
πρὸ τοῦ ἀναβάτου ἂν εἴη, τὸ δὲ ὄμμα ⟨τὰ⟩ πρὸ τῶν
ποδῶν ὁρῴη. καὶ βιάζεσθαι δὲ ἥκιστ' ἂν δύναιτο ὁ τοι-
οῦτον σχῆμα ἔχων καὶ εἰ πάνυ θυμοειδὴς εἴη· οὐ γὰρ
ἐγκάμπτοντες ἀλλ' ἐκτείνοντες τὸν τράχηλον καὶ τὴν κε-
9 φαλὴν βιάζεσθαι οἱ ἵπποι ἐπιχειροῦσι. σκοπεῖν δὲ χρὴ
καὶ εἰ ἀμφότεραι μαλακαὶ αἱ γνάθοι ἢ σκληραί, ἢ ⟨ἡ⟩
ἑτέρα. ἑτερόγναθοι γὰρ ὡς τὰ πολλὰ οἱ μὴ ὁμοίας τὰς
γνάθους ἔχοντες γίγνονται. καὶ μὴν τὸ ἐξόφθαλμον
εἶναι ἐγρηγορὸς μᾶλλον φαίνεται τοῦ κοιλοφθάλμου, καὶ
10 ἐπὶ πλεῖον δ' ἂν ὁ τοιοῦτος ὁρῴη. καὶ μυκτῆρές γε οἱ
ἀναπεπταμένοι τῶν συμπεπτωκότων εὐπνοώτεροί τε ἅμα
εἰσὶ καὶ γοργότερον τὸν ἵππον ἀποδεικνύουσι. καὶ γὰρ
ὅταν ὀργίζηται ἵππος ἵππῳ ἢ ἐν ἱππασίᾳ θυμῶται, εὐ-
11 ρύνει μᾶλλον τοὺς μυκτῆρας. καὶ μὴν κορυφὴ μὲν
μείζων, ὦτα δὲ μικρότερα ἱππωδεστέραν τὴν κεφαλὴν

2 Poll. I 190 *στέρνα πλατέα.* Ibid. 193 *ἀμείνων δ' ἵππος ὁ μὴ ἐναλλάξ, ἀλλὰ διὰ πολλοῦ τὰ σκέλη τιθεὶς καὶ διαφέρων.* 4 Poll. I 189 *τράχηλος εὐκαμπὴς ὡς ἀλεκτρυόνος, ἀλλ' οὐχ ὥσπερ κάπρου, ὀρθός.* 7. Poll. I 189 *κεφαλὴ ὀστώδης, προτομὴ βραχεῖα.*
8 Athenaeus Deipn. III 94 *καὶ Ξενοφῶν ἐν τῷ Περὶ ἱππικῆς· σιαγόνα μικρὰν συνεσταλμένην.* 13 Poll. I 195 *δίκαιος τὴν σιαγόνα, ἴσος ἑκατέραν τὴν γνάθον.* Ibid. 197 *σκληρόστομος, ἄδικος τὴν σιαγόνα, ἑτερόγναθος.* 16 Poll. I 189 *ὄμμα προπετές, ὡς ἐξόφθαλμον εἶναι.* 18 Ps. Apsyrt. in Geopon. XVI 9 *ῥῖνας μὴ συμπεπτωκυίας.* 22 Poll. I 218: *τὴν κορυφὴν μεγάλην καὶ τὰ ὦτα ἐλάττω τοῦ πρὸς τὴν κεφαλὴν μέτρου.*

4 *φορεῖν* Herwerden (*Revue de Philologie* IV 23 seqq.) ‖ 8 ⟨*εἰ*⟩ *ὀστώδης . . . ἔχοι, οὕτως* Cour. | ⟨*συνεσταλμένην*⟩ *σιαγόνα* ex Athenaeo Schn. ‖ 9 *δὲ* A: *δ'* D: om. a | ⟨*τὰ*⟩ Weiske ‖ 12 *συγκάμπτοντες* Cobet ‖ 14 *εἰ* om. A ‖ 15 *ἡ ἑτέρα* Schn.: *ἕτεραι* libri.

ἀποφαίνει. ἡ δ' αὖ ὑψηλὴ ἀκρωμία τῷ τε ἀναβάτῃ
ἀσφαλεστέραν τὴν ἕδραν καὶ τοῖς ὤμοις [καὶ τῷ σώματι]
ἰσχυροτέραν τὴν πρόσφυσιν παρέχεται. ⟨ῥάχις γε μὴν⟩ ἡ
διπλῆ τῆς ἁπλῆς καὶ ἐγκαθῆσθαι μαλακωτέρα καὶ ἰδεῖν
ἡδίων. καὶ πλευρὰ δὲ ἡ βαθυτέρα καὶ πρὸς τὴν γαστέρα 12
ὀγκωδεστέρα ἅμα εὐεδρότερόν τε καὶ ἰσχυρότερον καὶ εὐχιλό-
τερον ὡς ἐπὶ πολὺ τὸν ἵππον παρέχεται. ὀσφῦς γε μὴν ὅσῳ
ἂν πλατυτέρα τε καὶ βραχυτέρα ᾖ, τοσούτῳ ῥᾷον μὲν ὁ
ἵππος τὰ πρόσθεν αἴρεται, ῥᾷον δὲ τὰ ὄπισθεν προσά-
γεται· καὶ ὁ κενεὼν δὲ οὕτω μικρότατος φαίνεται, ὅσ-
περ μέγας ὢν μέρος μέν τι καὶ αἰσχύνει, μέρος δέ τι
καὶ ἀσθενέστερον καὶ δυσφορώτερον αὐτὸν τὸν ἵππον
παρέχεται. τά γε μὴν ἰσχία πλατέα εἶναι μὲν χρὴ καὶ 13
εὔσαρκα, ἵνα ἀκόλουθα ᾖ ταῖς πλευραῖς καὶ τοῖς στέρ-
νοις· ἢν δὲ πάντα στερεὰ ᾖ, κουφότερα ἂν τὰ πρὸς
τὸν δρόμον εἴη καὶ ὀξύτερον μᾶλλον αὐτὸν τὸν ἵππον
παρέχοιτο. μηρούς γε μὴν τοὺς ὑπὸ τῇ οὐρᾷ ἢν ἅμα 14
πλατείᾳ τῇ γραμμῇ διωρισμένους ἔχῃ, οὕτω καὶ τὰ ὄπι-
σθεν σκέλη διὰ πολλοῦ ὑποθήσει. τοῦτο δὲ ποιῶν ἅμα
γοργοτέραν τε καὶ ἰσχυροτέραν ἕξει τὴν ὑπόβασίν τε καὶ
ἱππασίαν καὶ ἅπαντα βελτίων ἔσται ἑαυτοῦ. τεκμήραιο

---

1 Poll. I 189 ἀκρώμια ὑψηλὰ τῷ τε ἀναβάτῃ ἀσφαλεστέραν τὴν ἕδραν καὶ τοῖς ὤμοις ἰσχυροτέραν τὴν πρόσφυσιν παρέχοντα. Hippiatr. p. 262 πάντων δὲ κρείττονες οἱ τὴν ἔκφυσιν ἔχοντες τῆς συνωμίας ὑψηλοτέραν. οὐ μόνον γὰρ τοῖς ἀναβάταις εἰσὶν ἀσφαλεῖς, ἀλλὰ καὶ τοῖς ὤμοις ἰσχυρότατοι τῶν ἄλλων. 3 Poll. I 190 ὀσφὺς διπλῆ· τὸ δ' αὐτὸ καὶ ῥάχις καὶ ἕδρα, μάλιστα δὲ τὸ μέσον τῆς ῥάχεως, ᾧ ἐγκάθηται ὁ ἐπιβάτης. Geopon. XVI 9 ῥάχιν μάλιστα μὲν διπλῆν, εἰ δὲ ⟨μή⟩, μή γε κυρτήν. 5 Poll. I 189 πλευραὶ βαθεῖαι, προμήκεις καὶ πρὸς τὴν γαστέρα ὀγκωδέστεραι. 13 Poll. I 190 ἰσχία πλατέα καὶ εὔσαρκα.

2 τὴν ἕδραν ἀσφαλεστέραν D | καὶ τῷ σώματι del. Schn. ‖ 3 ⟨ῥάχις γε μὴν⟩ Cour.: ⟨ὀσφὺς⟩ Schn.: ἣ Zeune ‖ 5 ἡ om. A ‖ 8 τε AB: om. cett. ‖ 10 ὅσπερ DF: ὥσπερ ABMG ‖ 12 αὐτὸν del. Dind.: αὖ Sauppe ‖ 13 μὲν om. K: μὲν εἶναι Hermann ‖ 15 πάντα] ταῦτα Cour. ‖ 16 αὐτὸν τὸν AO: αὐτὸν B: αὖ τὸν cett.: ἂν τὸν Dind. ‖ 17 παρέχεται AB ‖ 18 πλατεῖα A: πλατέα cett. ‖ 21 βελτίων A: βελτίω cett. | ἑαυτοῦ A: ἑαυτῶν cett.

δ' ἂν καὶ ἀπ' ἀνθρώπων· ὅταν γάρ τι ἀπὸ τῆς γῆς ἄρασθαι βούλωνται, διαβαίνοντες πάντες μᾶλλον ἢ συμβεβη-
15 κότες ἐπιχειροῦσιν αἴρεσθαι. τούς γε μὴν ὄρχεις δεῖ μὴ μεγάλους τὸν ἵππον ἔχειν, ὃ οὐκ ἔστι πώλου κατιδεῖν. περί γε μὴν τῶν κάτωθεν, ἀστραγάλων ἢ κνημῶν καὶ κυνηπόδων καὶ ὁπλῶν τὰ αὐτὰ λέγομεν ἅπερ περὶ τῶν ἔμπροσθεν.

16 Γράψαι δὲ βούλομαι καὶ ἐξ ὧν ἂν περὶ μεγέθους ἥκιστα ἀποτυγχάνοι τις. ὅτου γὰρ ἂν ὦσιν αἱ κνῆμαι εὐθὺς γιγνομένου ὑψηλόταται, οὗτος μέγιστος γίγνεται. προϊόντος γὰρ τοῦ χρόνου πάντων τῶν τετραπόδων αἱ μὲν κνῆμαι εἰς μέγεθος οὐ μάλα αὔξονται, πρὸς δὲ ταύτας ὡς ἂν συμμέτρως ἔχῃ συναύξεται καὶ τὸ ἄλλο
17 σῶμα. εἶδος μὲν δὴ πώλου οὕτω δοκιμάζοντες μάλιστ' ἂν ἡμῖν δοκοῦσι τυγχάνειν εὔποδος καὶ ἰσχυροῦ καὶ εὐσάρκου καὶ εὐσχήμονος καὶ εὐμεγέθους. εἰ δέ τινες αὐξανόμενοι μεταβάλλουσιν, ὅμως οὕτω θαρροῦντες δοκιμάζοιμεν· πολὺ γὰρ πλείονες εὐχρόαστοι ἐξ αἰσχρῶν ἢ ἐκ τοιούτων αἰσχροὶ γίγνονται.

## II.

1 Ὅπως γε μὴν δεῖ πωλεύειν δοκεῖ ἡμῖν γραπτέον εἶναι· τάττονται μὲν γὰρ δὴ ἐν ταῖς πόλεσιν ἱππεύειν οἱ τοῖς χρήμασί τε ἱκανώτατοι καὶ τῆς πόλεως οὐκ ἐλάχιστον μετέχοντες, πολὺ δὲ κρεῖττον τοῦ πωλοδαμνεῖν [εἶναι] τῷ μὲν νέῳ εὐεξίας τε ἐπιμελεῖσθαι τῆς

20 Hippiatr. p. 261 περὶ ἵππου εἴδους πολλοῖς γέγραπται καλῶς, ἄριστα δὲ πάντων Σίμωνι καὶ Ξενοφῶντι Ἀθηναίοις ἀνδράσι, πωλοδαμνίας δὲ παρὰ τοὺς ἄλλους μόνῳ Ξενοφῶντι.

5 κάτωθεν] ὄπισθεν Leuncl. | ἢ] καὶ Christianus || 6 περὶ om. B || 13 ἔχοι A || 15 ⟨ἵππου⟩ εὔποδος Herwerden | καὶ prima sede] δὴ καὶ D || 17 δοκιμάζοιμεν ⟨ἂν⟩ Dind.: idem vel δοκιμάζωμεν Richards || 18 πολὺ AB: πολλῷ cett. || 20 δεῖ om. AB: δεῖ (η add. m2) M | ⟨οὐ⟩ δοκεῖ Cobet: ⟨μὴ⟩ γραπτέον Cour. || 22 τῆς πολιτείας vel ⟨τῶν⟩ τῆς πόλεως Weiske || 23 πωλοδαμνεῖν A: πωλοδάμνειν B: πωλοδάμνην cett. || 24 εἶναι delevi | καὶ τῷ MG.

ἑαυτοῦ καὶ ἱππικὴν ἐν * * * ἢ ἐπισταμένῳ ἤδη ἱππάζεσθαι
μελετᾶν· τῷ δὲ πρεσβυτέρῳ τοῦ τε οἴκου καὶ τῶν φίλων καὶ
τῶν πολιτικῶν καὶ τῶν πολεμικῶν μᾶλλον ἢ ἀμφὶ πώλευσιν
διατρίβειν. ὁ μὲν δὴ ὥσπερ ἐγὼ γιγνώσκων περὶ πωλείας δῆ- 2
λον ὅτι ἐκδώσει τὸν πῶλον. χρὴ μέντοι ὥσπερ τὸν παῖδα ὅταν
ἐπὶ τέχνην ἐκδῷ, συγγραψάμενον ἃ δεήσει ἐπιστάμενον ἀπο-
δοῦναι οὕτως ἐκδιδόναι. ταῦτα γὰρ ὑπομνήματα ἔσται τῷ
πωλοδάμνῃ ὧν δεῖ ἐπιμεληθῆναι, εἰ μέλλει τὸν μισθὸν
ἀπολήψεσθαι. ὅπως μέντοι πρᾶός τε καὶ χειροήθης καὶ 3
φιλάνθρωπος ὁ πῶλος ἐκδιδῶται τῷ πωλοδάμνῃ ἐπι-
μελητέον. τὸ γὰρ τοιοῦτον οἴκοι τε τὰ πλεῖστα καὶ διὰ
τοῦ ἱπποκόμου ἀποτελεῖται, ἢν ἐπίστηται τὸ μὲν πεινῆν
καὶ διψῆν καὶ μυωπίζεσθαι παρασκευάζειν μετ' ἐρημίας
γίγνεσθαι τῷ πώλῳ, τὸ δὲ φαγεῖν καὶ πιεῖν καὶ τὸ τῶν
λυπούντων ἀπαλλάττεσθαι δι' ἀνθρώπων. τούτων γὰρ
γιγνομένων ἀνάγκη μὴ μόνον φιλεῖσθαι ἀλλὰ καὶ πο-
θεῖσθαι ὑπὸ πώλων ἀνθρώπους. καὶ ἅπτεσθαι δὲ χρὴ 4
ὧν ψηλαφωμένων ὁ ἵππος μάλιστα ἥδεται. ταῦτα δ'
ἐστὶ τά τε λασιώτατα καὶ οἷς αὐτὸς ἥκιστ' ἂν δύναιτο ὁ
ἵππος, ἤν τι λυπῇ αὐτόν, ἐπικουρεῖν. προστετάχθω δὲ 5
τῷ ἱπποκόμῳ καὶ τὸ δι' ὄχλου διάγειν, καὶ παντοδαπαῖς
μὲν ὄψεσι παντοδαποῖς δὲ ψόφοις πλησιάζειν. τούτων
δὲ ὅσα ἂν ὁ πῶλος φοβῆται, οὐ χαλεπαίνοντα δεῖ ἀλλὰ
πραΰνοντα διδάσκειν ὅτι οὐ δεινά ἐστι. καὶ περὶ μὲν πωλείας
ἀρκεῖν μοι δοκεῖ τῷ ἰδιώτῃ εἰπεῖν τοσαῦτα πράττειν.

## III.

Ὅταν γε μὴν ἱππαζόμενον ὠνῆταί τις, ὑπομνήματα 1

---

26 Poll. I 182 ἔτι δὲ ἀδάμαστον πῶλον τούτῳ δὲ Ξενοφῶν ἀντιτίθησι τὸν ἤδη ἱππαζόμενον.

1 ἱππικὴν A: ἱππικῆς cett. | ἐν A: om. cett.: ἐν⟨ίστασθαι⟩ Diels ‖ 2 δὲ Zeune: τε libri ‖ 4 γιγνώσκω BMG ‖ 7 ὑπομνήματα AB: ὑποδείγματα cett. ‖ 10 ἐκδιδῶται Mª: ἐκδίδοται cett. ‖ 13 μυωπίζεσθαι Cour: μὴ ὀργίζεσθαι libri: μὴ del. Camerarius, Leuncl. | ἐρημίας Conr. Gesner: ἠρεμίας libri ‖ 14 τὸ alterum AB: om. cett. ‖ 19 ἥκιστ' ἂν A: ἥκιστα cett. | δύναιτο B: δύναιτα A: δύναται cett. ‖ 21 δι' ὄχλου om. A ‖ 23 ὁπόσα M.

γράψομεν ἃ δεῖ καταμανθάνειν τὸν μέλλοντα μὴ ἐξαπα-
τᾶσθαι ἐν ἱππωνίᾳ. πρῶτον μὲν τοίνυν μὴ λαθέτω
αὐτὸν τίς ⟨ἡ⟩ ἡλικία· ὁ γὰρ μηκέτι ἔχων γνώμονας οὔτ'
ἐλπίσιν εὐφραίνει οὔτε ὁμοίως εὐαπάλλακτος γίγνεται.
2 ὁπότε δὲ ἡ νεότης σαφής, δεῖ αὖ μὴ λαθεῖν, πῶς μὲν
εἰς τὸ στόμα δέχεται τὸν χαλινόν, πῶς δὲ περὶ τὰ ὦτα
τὴν κορυφαίαν. ταῦτα δὲ ἥκιστ' ἂν λανθάνοι, εἰ ὁρῶντος
μὲν τοῦ ὠνουμένου ἐμβάλλοιτο ὁ χαλινός, ὁρῶντος δὲ
3 ἐξαιροῖτο. ἔπειτα δὲ προσέχειν δεῖ τὸν νοῦν, πῶς ἐπὶ
τὸν νῶτον δέχεται τὸν ἀναβάτην. πολλοὶ γὰρ ἵπποι
χαλεπῶς προσίενται ἃ πρόδηλα αὐτοῖς ἐστιν, ὅτι προσ-
4 ἱέμενοι πονεῖν ἀναγκασθήσονται. σκεπτέον δὲ καὶ τόδε,
εἰ ἀναβαθεὶς ἐθέλει ἀφ' ἵππων ἀποχωρεῖν ἢ εἰ παρ'
ἑστηκότας ἱππεύων μὴ ἐκφέρει πρὸς τούτους. εἰσὶ δὲ
οἳ διὰ κακὴν ἀγωγὴν καὶ πρὸς τὰς οἴκαδε ἀφόδους φεύ-
5 γουσιν ἐκ τῶν ἱππασιῶν. τούς γε μὴν ἑτερογνάθους μη-
νύει μὲν καὶ ἡ πέδη καλουμένη ἱππασία, πολὺ δὲ μᾶλλον
καὶ τὸ μεταβάλλεσθαι τὴν ἱππασίαν. πολλοὶ γὰρ οὐκ
ἐγχειροῦσιν ἐκφέρειν, ἢν μὴ ἅμα συμβῇ ἥ τε ἄδικος
γνάθος καὶ ἡ πρὸς οἶκον ἐκφορά. δεῖ γε μὴν εἰδέναι
καὶ εἰ ἀφεθεὶς εἰς τάχος ἀναλαμβάνεται ἐν βραχεῖ καὶ
6 εἰ ἀποστρέφεσθαι ἐθέλει. ἀγαθὸν δὲ μὴ ἄπειρον εἶναι,
εἰ καὶ πληγῇ ἐγερθεὶς ἐθέλει ὁμοίως πείθεσθαι.
ἄχρηστον μὲν γὰρ δήπου καὶ οἰκέτης καὶ στράτευμα

---

3 Poll. I 182 γνῶμα . . . λέγεται ὁ ἀποπίπτων ὀδούς, τῆς ἡλικίας ὢν γνωριστικός. 10 Herodian. p. 435 Piers. ἐπὶ τῶν ἀλόγων τὸν νῶτον ἀρσενικῶς, καὶ Ξενοφῶν Περὶ ἱππικῆς, τὸν νῶτον τοῦ ἵππου. Cram. Anecd. Oxon. I p. 340, 15 νῶτος· καὶ γὰρ τούτου ἡ χρῆσις· καὶ τὸ μὲν οὐδέτερον πολὺ τὸ νῶτον. ἤδη δὲ καὶ τὸ ἀρσενικόν· ἱστορεῖται δὲ παρὰ Ξενοφῶντι καὶ Ἐφόρῳ. 17 Poll. I 214 πέδη δὲ ἱππασία ἡ κυκλοτερής· ἑτερομήκης πέδη ἡ μῆκος τῷ κύκλῳ προστιθεῖσα.

2 ἱππωνίᾳ Dind.: ἱππωνείᾳ libri ‖ 3 τίς AB: τις vel τὶς cett. | ἡ add. Castalio ‖ 9 ἐξαιροῖτο A: ἐξαίροιτο cett. ‖ 12 προσιέμενοι D | καὶ om. B ‖ 13 ἐθέλοι M ‖ 14 παρ' ἑστηκότας Zeune : παρεστηκότας (om. acc. A) libri | παρεστηκότας ὀπτεύων Leuncl. | ἐκφέρει A: ἐκφέροι cett. ‖ 15 καὶ ante οἳ transtulit Schn. N secutus

ἀπειθές· ἵππος δὲ ἀπειθὴς οὐ μόνον ἄχρηστος, ἀλλὰ
πολλάκις καὶ ὅσαπερ προδότης διαπράττεται. ἐπεὶ δὲ 7
πολεμιστήριον ἵππον ὑπεθέμεθα ὠνεῖσθαι, ληπτέον πεῖ-
ραν ἁπάντων, ὅσωνπερ καὶ ὁ πόλεμος πεῖραν λαμβάνει.
ἔστι δὲ ταῦτα, τάφρους διαπηδᾶν, τειχία ὑπερβαίνειν,
ἐπ᾽ ὄχθους ἀνορούειν, ἀπ᾽ ὄχθων καθάλλεσθαι· καὶ πρὸς
ἄναντες δὲ καὶ κατὰ πρανοῦς καὶ πλάγια ἐλαύνοντα πεῖραν
λαμβάνειν· πάντα γὰρ ταῦτα καὶ τὴν ψυχὴν εἰ καρτερὰ καὶ
τὸ σῶμα εἰ ὑγιὲς δοκιμάζει. οὐ μέντοι τὸν μὴ καλῶς πάνυ 8
ταῦτα ποιοῦντα ἀποδοκιμαστέον. πολλοὶ γὰρ οὐ διὰ τὸ μὴ
δύνασθαι ἀλλὰ διὰ τὸ ἄπειροι εἶναι τούτων ἐλλείπονται.
μαθόντες δὲ καὶ ἐθισθέντες καὶ μελετήσαντες καλῶς ἂν
ταῦτα πάντα ποιοῖεν, εἴγ᾽ ἄλλως ὑγιεῖς καὶ μὴ κακοὶ εἶεν.
τούς γε μέντοι ὑπόπτας φύσει φυλακτέον. οἱ γὰρ ὑπέρ- 9
φοβοι βλάπτειν μὲν τοὺς πολεμίους ἀφ᾽ ἑαυτῶν οὐκ ἐῶσι,
τὸν δὲ ἀναβάτην ἔσφηλάν τε πολλάκις καὶ εἰς τὰ χαλεπώ-
τατα ἐνέβαλον. δεῖ δὲ καὶ εἴ τινα χαλεπότητα ἔχοι ὁ 10
ἵππος, καταμανθάνειν, εἴτε πρὸς ἵππους εἴτε πρὸς ἀν-
θρώπους, καὶ εἰ δυσγάργαλός γε εἴη· πάντα γὰρ ταῦτα
χαλεπὰ τοῖς κεκτημένοις γίγνεται. τὰς δέ γε τῶν χαλι- 11

---

5 Poll. I 196 *μεμελετηκὼς καὶ πρὸς ἄναντες ἀναθεῖν καὶ πρὸς κάταντες καταδραμεῖν, καὶ τειχίον ὑπερακρίσαι, καὶ τάφρον διαπηδῆσαι, καὶ χαράδραν διαλέσθαι, καὶ ποταμὸν περᾶσαι, καὶ ἐπ᾽ ὄχθους ἀνορούειν καὶ ἀπ᾽ ὄχθων καθάλλεσθαι.* 14 Poll. I 197 *ὕποπτος* habet. Hippiatr. p. 262 *ὑπόπτας φύσει καὶ ὑπερφόβους ἄριστον μὲν μὴ κεκτῆσθαι, ἐπισταμένους, ὅτι φέροντές τι τῶν φορτίων ἐνίοτε εἰς τὸ ἀπολέσθαι ἔρριψαν· καὶ τοῦτο μὲν ἧσσον κακόν· ῥαδίως δὲ σφήλαντες τὸν ἀναβάτην κακῶς διέθηκαν.* 17 Hippiatr. p. 263 *ὡσαύτως δὲ καὶ οἱ χαλεπαίνοντες ἵπποι πρὸς ἑτέρους κακὸν παρέχονται.* 19 Poll. I 197 *δυσγάργαλις* habet. Hesych: *δυσγάργαλις· δυσπραΰντος. οὐχ ὑποτασσόμενος. δυσπρόσιτος· ὁτὲ δὲ δυσγαργάλιστος.* Anecd. Bekk. 37, 1 *δυσγάργαλος ἵππος, ἐπὶ τῶν ψήχεσθαι δυσανασχετούντων τίθεται.* Hippiatr. p. 3 *μὴ δυσάγωγον εἶναι μηδὲ δύσστομον καὶ δυσγάργαλον.* 20 Poll. I 202 *ἐργώδης γὰρ ἡ τῆς χαλινώσεως κώλυσις.*

3 *ἵππον* om. AB ‖ 8 *ἐγκαρτερὰν* B ‖ 9 *δοκιμάζει* A: *βασανίζει* cett. ‖ 13 *γ᾽* Steph.: om. A: *δ᾽* cett. ‖ 17 *ἔχει* A ‖ 19 *δυσγάργαλός* AB: *δυσγάργαλίς* cett. ‖ 20 *χαλινῶν* F.

*νώσεων καὶ ἀναβάσεων ἀποκωλύσεις καὶ τἆλλα δὴ νεύματα πολὺ ἂν ἔτι μᾶλλον καταμάθοι τις, εἰ πεπονηκότος ἤδη τοῦ ἵππου πάλιν πειρῷτο ποιεῖν ταὐτὰ ὅσαπερ πρὶν ἄρξασθαι ἱππεύειν. ὅσοι δ' ἂν πεπονηκότες ἐθέλωσι πάλιν ὑποδύεσθαι πόνους, ἱκανὰ τεκμήρια παρέχον-*
12 *ται ταῦτα ψυχῆς καρτερᾶς. ὡς δὲ συνελόντ' εἰπεῖν, ὅστις εὔπους μὲν εἴη, πρᾶος δέ, ἀρκούντως δὲ ποδώκης, ἐθέλοι δὲ καὶ δύναιτο πόνους ὑποφέρειν πείθοιτο δὲ μάλιστα, οὗτος ἂν εἰκότως ἀλυπότατός τ' εἴη καὶ σωτηριώτατος τῷ ἀναβάτῃ ἐν τοῖς πολεμικοῖς. οἱ δὲ ἢ διὰ βλακείαν ἐλάσεως πολλῆς δεόμενοι ἢ διὰ τὸ ὑπέρθυμοι εἶναι πολλῆς θωπείας τε καὶ πραγματείας ἀσχολίαν μὲν ταῖς χερσὶ τοῦ ἀναβάτου παρέχουσιν, ἀθυμίαν δ' ἐν τοῖς κινδύνοις.*

## IV.

1 *Ὅταν γε μὴν ἀγασθεὶς ἵππον πρίηταί τις καὶ οἴκαδε ἀγάγηται, καλὸν μὲν ἐν τοιούτῳ τῆς οἰκίας τὸν σταθμὸν εἶναι ὅπου πλειστάκις ὁ δεσπότης ὄψεται τὸν ἵππον· ἀγαθὸν δὲ οὕτω κατεσκευάσθαι τὸν ἱππῶνα, ὥστε μηδὲν μᾶλλον οἷόν τ' εἶναι τὸν τοῦ ἵππου σῖτον κλαπῆναι ἐκ τῆς φάτνης ἢ τὸν τοῦ δεσπότου ἐκ τοῦ ταμιείου. ὁ δὲ τούτου ἀμελῶν ἐμοὶ μὲν ἑαυτοῦ δοκεῖ ἀμελεῖν· δῆλον γὰρ ὅτι ἐν τοῖς κινδύνοις τὸ αὑτοῦ σῶμα τῷ ἵππῳ ὁ δε-*
2 *σπότης παρακατατίθεται. ἔστι δὲ οὐ μόνον τοῦ μὴ κλέπτεσθαι ἕνεκα τὸν σῖτον ἀγαθὸς ὁ ἐχυρὸς ἱππών, ἀλλ' ὅτι καὶ ὅταν πῃ ἐκκομίζῃ τὸν σῖτον ὁ ἵππος φανερὸν*

---

1) Poll. I 201 *χαλινώσεως κώλυσις.* 24 Poll. I 209 *ἔστι δέ τι νόσημα ἵππων κριθίασις καὶ ὑπεραίμωσις ὑπὸ πλησμονῆς, καὶ ὅτε οὐκ ἐκκομίζουσι τὸν σῖτον, τότε χρὴ ὑφαιρεῖν, καὶ χόρτον παραβάλλειν μόνον, ἤ τι ἄλλο τῶν κουφοτέρων.*

1 *δεινεύματα* D: *δινεύματα* Steph. ‖ 3 *ταὐτὰ* Weiske: *ταῦτα* libri: in *πάντα* corrigendum vel delendum censet Bornemann (ad Conv. p. 193) ‖ 5 *ὑποδύεσθαι πόνους* AB: *π. ὑπ.* cett. ‖ 6 *συνελόντ'* AB: *συνελόντι* cett. ‖ 7 *εὔνους* Zeune: *εὔπνους* Weiske ‖ 8 *δὲ* prius om. B ‖ 10 *ἀναβάτῃ* BDF: *ἀνατη* A: *ἀμβάτῃ* MG ‖ 16 *ὅπου* Dind.: *ὅποι* libri ‖ 24 *πῃ* Weiske: *μὴ* libri | *ἐκκομίσῃ* Schn.: *μὴ ἐκκοπρίζῃ* (coll. Aps. p. 112) Cour.

γίγνεται. τούτου δ' ἄν τις αἰσθανόμενος γιγνώσκοι ὅτι ἢ τὸ
σῶμα ὑπεραιμοῦν δεῖται θεραπείας ἢ κόπου ἐνόντος δεῖται
ἀναπαύσεως ἢ κριθίασις ἢ ἄλλη τις ἀρρωστία ὑποδύεται. ἔστι
δὲ ὥσπερ ἀνθρώπῳ, οὕτω καὶ ἵππῳ ἀρχόμενα πάντα εὐιατώ-
τερα ἢ ἐπειδὰν ἐνσκιρωθῇ τε καὶ ἐξαμαρτηθῇ τὰ νοσήματα.
ὥσπερ δὲ τοῦ ἵππου σίτου τε καὶ γυμνασίων ἐπιμελητέον, 3
ὅπως ἂν τὸ σῶμα ἰσχύῃ, οὕτω καὶ τοὺς πόδας ἀσκητέον.
τὰ μὲν τοίνυν ὑγρά τε καὶ λεῖα τῶν σταθμῶν λυμαίνεται
καὶ ταῖς εὐφυέσιν ὁπλαῖς· τὰ δέ, ὡς μὲν μὴ ὑγρὰ εἶναι,
ἀπόρρυτα, ὡς δὲ μὴ λεῖα, λίθους ἔχοντα κατορωρυγμέ-
νους, προσαλλήλους, παραπλησίους ὁπλαῖς τὸ μέγεθος
* * * τὰ γὰρ τοιαῦτα σταθμὰ καὶ ἐφεστηκότων ἅμα
στερεοῖ τοὺς πόδας. ἔπειτά γε μὴν τῷ ἱπποκόμῳ ἐξ- 4
ακτέον μὲν τὸν ἵππον ὅπου ψήξει, μεταδετέον δὲ μετὰ τὸ
ἄριστον ἀπὸ τῆς φάτνης, ἵν' ἥδιον ἐπὶ τὸ δεῖπνον ἴῃ.
ὧς δ' ἂν αὖ ὁ ἔξω σταθμὸς βέλτιστος εἴη καὶ τοὺς πόδας
κρατύνοι, εἰ λίθων στρογγύλων ἀμφιδόχμων ὅσον μνα-
αίων ἁμάξας τέτταρας καὶ πέντε χύδην καταβάλοι, περι-
χειλώσας σιδήρῳ, ὡς ἂν μὴ σκεδαννύωνται· ἐπὶ γὰρ
τούτων ἑστηκὼς ὥσπερ ἐν ὁδῷ λιθώδει ἀεὶ μέρος τῆς
ἡμέρας πορεύοιτο ⟨ἄν⟩. ἀνάγκη δὲ καὶ ψηχόμενον καὶ 5

15 Poll. I 200 ἐνεθιζέτω δὲ τὸν πῶλον ὁδῷ λιθώδει μὴ πάντῃ τραχείᾳ· εἰ δὲ καὶ ἐν τῷ σταθμῷ καταβάλλοι λίθους μναιαίους ἀμφιδόχμους, περιχειλώσας σιδήρῳ, ὡς Ξενοφῶν ἔφη, τούτῳ τῷ ἔθει τῷ πρὸς αὐτοὺς στερεοῖ καὶ κρατύνει, τοῦ ἵππου, τοὺς πόδας. 21 Poll. I 202 ψηχόμενον — ὁπλαῖς alienis insertum.

1 αἰσθόμενος F ‖ 2 σῶμα Camerarius Brodaeus: στόμα libri | ὑπεραιμοῦν AB: υπερεμοῦν cett. ‖ 6 τοῦ ἵππου AB: τῷ ἵππῳ cett. ‖ 11 προσαλλήλους Schn.: πρὸς ἀλλήλους libri | παραπλησίως A ‖ 12 τὰ γὰρ] ἄριστα Diels | ἐφεστηκότων A: ἀφεστηκότων cett. ‖ 14 μετα τὸ ἄριστον om. A ‖ 16 ὧς M[a]: ὡς cett.: ὧδ' Cour.: ὧδε δ' Dind. ‖ 17 κρατύνοι e Poll. restitutum: κρατερύνει A: καρτερύνοι B: κατευρύνοια | ἀμφιδόχμων e Poll. restitutum: ἀμφιτόμων libri | μνααίων Steph.: μνααίους M: μναϊαίους a ‖ 18 καὶ: ἢ Schn. | καταβάλοι AD(?)F: καταβάλλοι BMG ‖ 19 ἀνδήροις coni. Diels ‖ 20 ἑστηκώς, ⟨στερεοῖ ἂν καὶ κρατύνοι τοὺς πόδας⟩ ὥσπερ εἰ ὁδὸν λιθώδη κτἑ. Cour. | ἀεὶ ⟨ἂν⟩ Dind.: ⟨ἂν⟩ ἀεὶ vel ἂν pro ἀεὶ Hermann | μέρος ⟨τι⟩ Richards. ‖ 21 ⟨ἂν⟩ Diels.

μυωπιζόμενον χρῆσθαι ταῖς ὁπλαῖς καθάπερ ὅταν βαδίζῃ. καὶ τὰς χελιδόνας δὲ τῶν ποδῶν οἱ οὕτω κεχυμένοι λίθοι στερεοῦσιν. ὡς δὲ περὶ τῶν ὁπλῶν ὅπως στερεαὶ ἔσονται ἐπιμελητέον, οὕτω καὶ τὰ περὶ τὸ στόμα αὖ ὅπως μαλακὰ ἔσται ἐπιμελεῖσθαι δεῖ. τὰ δ' αὐτὰ ἀνθρώπου τε σάρκα καὶ ἵππου στόμα ἁπαλύνει.

## V.

1 Ἱππικοῦ δὲ ἀνδρὸς ἡμῖν δοκεῖ εἶναι καὶ τὸν ἱππο-
κόμον πεπαιδευκέναι ἃ δεῖ περὶ τὸν ἵππον πράττειν.
πρῶτον μὲν τοίνυν τῆς ἐπιφατνιδίας φορβειᾶς ἐπίστασθαι
αὐτὸν δεῖ μήποτε τὸ ἅμμα ποιεῖσθαι ἔνθαπερ ἡ κορυ-
φαία περιτίθεται. πολλάκις γὰρ κνῶν ὁ ἵππος ἐπὶ τῇ
φάτνῃ τὴν κεφαλήν, εἰ μὴ ἀσινὴς ἡ φορβειὰ περὶ τὰ
ὦτα ἔσται, πολλάκις ἂν ἕλκη ποιοίη. ἑλκουμένων γε μὴν
τούτων ἀνάγκη τὸν ἵππον καὶ περὶ τὸ χαλινοῦσθαι καὶ
2 περὶ τὸ ψήχεσθαι δυσκολώτερον εἶναι. ἀγαθὸν δὲ καὶ
τὸ τετάχθαι τῷ ἱπποκόμῳ καθ' ἡμέραν τὴν κόπρον καὶ
τὰ ὑποστρώματα τοῦ ἵππου ἐκφέρειν εἰς ἓν χωρίον.
τοῦτο γὰρ ποιῶν αὐτός τ' ἂν ῥᾷστα ἀπαλλάττοι καὶ ἅμα
3 τὸν ἵππον ὠφελοίη. εἰδέναι δὲ χρὴ τὸν ἱπποκόμον καὶ
τὸν κημὸν περιτιθέναι τῷ ἵππῳ, καὶ ὅταν ἐπὶ ψῆξιν καὶ

---

3 Poll. I 201 τὰ μέντοι χείλη αὐτοῦ ἁπαλυνέτω, ὅπως τοῦ χαλινοῦ συνιῇ· ἁπαλύνει δὲ τὰ χείλη χειρῶν τριβὴ καὶ ὕδατος χλιαροῦ προσβολὴ καὶ ἔλαιον ποτὲ ἀλοιφή. 9 Poll. I 201 τῆς δὲ ἐπιφατνιδίας φορβειᾶς μὴ ποιείτω τὸ ἅμμα ἔνθα ἡ κορυφαία περιτίθεται, ὡς μὴ ἑλκουμένων τούτων καὶ περὶ τὸ χαλινοῦσθαι δυσκολαίνῃ.
10 Poll. I 147 ὁ δὲ ἀπὸ τῆς κορυφῆς τοῦ ἵππου ἐκτεταμένος ἱμὰς ἐπὶ τὸν χαλινὸν κορυφαία. 16 Poll. 183 ἐκφέρειν τὴν κόπρον, ψύχειν τὰ στρώματα τοῦ ἵππου.

1 χρῆσθαι AB Poll.: κεχρῆσθαι cett. ‖ 3—4 ὅπως — ὅπως om. B. ‖ 3 ὅπως ὡς A | στερεαὶ ἔσονται ἐπιμελητέον A: καρτεραὶ ἔσονται cett. ‖ 4 τὰ περὶ τὸ στόμα αὖ A: περὶ τῶν στομάτων cett. | ὅπως ὡς A ‖ 8 πεπαιδευκέναι A: πεπαιδεῦσθαι cett. ‖ 9 φορβειᾶς Poll.: om. A: φορβιᾶς cett. ‖ 11 κνῶν Cour.: κινῶν libri ‖ 12 φορβειὰ A: φορβιὰ cett. ‖ 14 καὶ περὶ τὸ χαλινοῦσθαι om. A.

*ὅταν ἐπὶ καλίστραν ἐξάγῃ. καὶ ἀεὶ δὲ ὅποι ἂν ἀχάλινωτον*
*ἄγῃ κημοῦν δεῖ. ὁ γὰρ κημὸς ἀναπνεῖν μὲν οὐ κωλύει,*
*δάκνειν δὲ οὐκ ἐᾷ· καὶ τὸ ἐπιβουλεύειν δὲ περικείμενος*
*μᾶλλον ἐξαιρεῖ τῶν ἵππων. καὶ μὴν δεσμεύειν τὸν ἵππον* 4
*ἄνωθεν τῆς κεφαλῆς δεῖ. πάντα γὰρ ὁπόσα ἂν δύσκολ᾿*
*ᾖ περὶ τὸ πρόσωπον ὁ ἵππος ἐκνεύειν πέφυκεν ἄνω.*
*ἐκνεύων γε μὴν οὕτω δεδεμένος χαλᾷ μᾶλλον ἢ διασπᾷ*
*τὰ δεσμά. ἐπειδὰν δὲ ψήχῃ, ἄρχεσθαι μὲν ἀπὸ τῆς* 5
*κεφαλῆς καὶ τῆς χαίτης· μὴ γὰρ καθαρῶν τῶν ἄνω ὄντων*
*μάταιον τὰ κάτω καθαίρειν. ἔπειτα δὲ κατὰ μὲν τὸ ἄλλο*
*σῶμα πᾶσι τοῖς τῆς καθάρσεως ὀργάνοις ἀνιστάντα δεῖ*
*τὴν τρίχα σοβεῖν τὴν κόνιν κατὰ φύσιν τῆς τριχός· τῶν*
*δ᾿ ἐν τῇ ῥάχει τριχῶν ἄλλῳ μὲν ὀργάνῳ οὐδενὶ δεῖ ἅπτεσθαι, ταῖς δὲ χερσὶ τρίβειν καὶ ἀπαλύνειν ᾗπερ φύσει*
*κέκλινται· ἥκιστα γὰρ ἂν βλάπτοι τὴν ἕδραν τοῦ ἵππου.*
*ὕδατι δὲ καταπλύνειν τὴν κεφαλὴν χρή· ὀστώδης γὰρ* 6
*οὖσα, εἰ σιδήρῳ ἢ ξύλῳ καθαίροιτο, λυποῖ ἂν τὸν ἵππον.*

---

1 Poll. 183 *τὸ δὲ κυλῖσαι καὶ ἀλῖσαι ἐρεῖς καὶ ἐξαλῖσαι καὶ τὸ χωρίον ἀλίστρα καὶ ἐξαλίστρα καὶ κυλίστρα.* Ibid. 202 *ἢν μὲν γὰρ κεχαλινωμένον ἄγῃ, οὐδὲν αὐτῷ* (sc. *τῷ ἱπποκόμῳ*) *παραινῶ· ἢν δὲ ἀχαλίνωτον, κημοῦν τὸν ἵππον· ὁ γὰρ κημὸς δάκνειν μὲν οὐκ ἐᾷ, ἐκπνεῖν δὲ οὐ κωλύει.* 2 Schol. Aristoph. Eqv. 1150 *καὶ ὁ τοῖς ἵπποις δὲ περιτιθέμενος οὕτως ἐκαλεῖτο κημός, ὁ καλούμενος φιμός, ὡς Ξενοφῶν ἐν τοῖς Περὶ ἱππικῆς.* 8 Poll. I 202 *ὁπόταν δὲ ψήχῃ τὸν ἵππον, ἀπὸ τῆς κεφαλῆς μὲν αὐτῷ ἀρκτέον, ἵνα τῶν ἄνωθεν καθαρθέντων ἐπικατίῃ τοῖς ὑπ᾿ αὐτά.* 10 Poll. I 199 *καὶ πρὸς μὲν τὸ ἄλλο σῶμα χρήσθω πᾶσι τοῖς τῆς καθάρσεως ὀργάνοις, τὴν δὲ κεφαλὴν καταπλύνειν δεῖ μᾶλλον ἢ καθαίρειν.* 12 Poll. I 183 *ἀποσοβεῖν τὴν κόνιν ἀνιστάντα τὴν τρίχα.* Ibid. 199 *καὶ τὴν κνήμην τριβέτω κατὰ τὴν φύσιν τῆς τριχός, τὴν δὲ μηριαίαν καὶ τὸ λοιπὸν σῶμα καὶ εἰ πρὸς τοὐναντίον ἀνακαθαίροι, ῥᾷον ἂν ἐκσοβοῖ τὴν κόνιν.* Ibid. 200 *τῶν δ᾿ ἐν τῇ ῥάχει τριχῶν ἄλλῳ μὲν ὀργάνῳ μὴ προσαπτέσθω, ταῖς δὲ χερσὶ τρίβων καὶ ἀπαλύνων, ᾗπερ φύσει κέκλινται, ἥκιστ᾿ ἂν βλάπτοι τὴν ἕδραν τοῦ ἵππου.* 16 Poll. I 183 *καταπλύνειν δὲ δεῖ λέγειν τὴν κεφαλήν, οὐ καθαίρειν.* Schol. Ven. Ψ 281 *ἐντεῦθεν Ξενοφῶν τὴν κεφαλὴν τοῦ ἵππου καταπλύνειν ὕδατι ἀξιοῖ καὶ τὸ προκόμιον.*

2 *μὲν οὖν* B ‖ 5—6 *δυσκολῇ* libri. ‖ 12 *ἀποσοβεῖν* Schn. | ⟨*οὐ*⟩ *κατὰ* Conr-Gesner: ⟨*κατὰ δὲ τὴν κνήμην*⟩ *κατὰ φύσιν* e Poll. Diels.

*καὶ τὸ προκόμιον δὲ χρὴ βρέχειν· καὶ γὰρ αὗται εὐμήκεις οὖσαι αἱ τρίχες ὁρᾶν μὲν οὐ κωλύουσι τὸν ἵππον, ἀποσοβοῦσι δὲ ἀπὸ τῶν ὀφθαλμῶν τὰ λυποῦντα. καὶ τοὺς θεοὺς δὲ οἴεσθαι χρὴ δεδωκέναι ταύτας τὰς τρίχας ἵππῳ ἀντὶ τῶν μεγάλων ὤτων ἃ ὄνοις τε καὶ ἡμιόνοις ἔδοσαν*
7 *ἀλεξητήρια πρὸ τῶν ὀμμάτων. καὶ οὐρὰν δὲ καὶ χαίτην πλύνειν χρή, ἐπείπερ αὔξειν δεῖ τὰς τρίχας, τὰς μὲν ἐν τῇ οὐρᾷ, ὅπως ἐπὶ πλεῖστον ἐξικνούμενος ἀποσοβῇται ὁ ἵππος τὰ λυποῦντα, τὰς δὲ ἐν τῷ τραχήλῳ, ὅπως τῷ*
8 *ἀναβάτῃ ὡς ἀφθονωτάτη ἀντίληψις ᾖ. δέδοται δὲ παρὰ τῶν θεῶν καὶ ἀγλαΐας ἕνεκεν ἵππῳ χαίτη καὶ προκόμιόν τε καὶ οὐρά. τεκμήριον δέ· αἱ γὰρ ἀγελαῖαι τῶν ἵππων οὐχ ὁμοίως ὑπομένουσι τοὺς ὄνους ἐπὶ τῇ ὀχείᾳ ἕως ἂν κομῶσιν· οὗ ἕνεκα καὶ ἀποκείρουσι πρὸς τὴν ὀχείαν τὰς*
9 *ἵππους ἅπαντες οἱ ὀνοβατοῦντες. τήν γε μὴν τῶν σκελῶν κατάπλυσιν ἀφαιροῦμεν· ὠφελεῖ μὲν γὰρ οὐδέν, βλάπτει δὲ τὰς ὁπλὰς ἡ καθ' ἑκάστην ἡμέραν βρέξις. καὶ τὴν ὑπὸ γαστέρα δὲ ἄγαν κάθαρσιν μειοῦν χρή· αὕτη γὰρ λυπεῖ μὲν μάλιστα τὸν ἵππον, ὅσῳ δ' ἂν καθαρώτερα ταῦτα γένηται, τοσούτῳ πλείονα τὰ λυποῦντα ἀθροίζει*
10 *ὑπὸ τὴν γαστέρα· ἢν δὲ καὶ πάνυ διαπονήσηταί τις ταῦτα, οὐ φθάνει τ᾽ ἐξαγόμενος ὁ ἵππος καὶ εὐθὺς ὅμοιός ἐστι*

---

8 Poll. I 190 *χρήσιμον δὲ τὸ μῆκος* (sc. *τῆς οὐρᾶς*) *οὐ μόνον εἰς ἀγλαΐαν, ἀλλ' ὅπως καὶ μυωπιζόμενος ἀπελαύνοι τὰ λυποῦντα.* 10 Poll. I 217 *ἀγλαΐα γὰρ χαίτη τοῖς ἵπποις, καὶ καλλωπίζονται καὶ γαυριῶσιν ἐπ' αὐτῇ· ὁπότε καὶ οἱ ὀνοβατοῦντες, ἐπειδὰν αἱ ἵπποι τῶν ὄνων τὴν μῖξιν ἀτιμάζωσι καὶ ἀφυβρίζωσιν εἰς αὐτούς, ἀποκείραντες τὰς ἵππους ἐπὶ πηγὰς ἄγουσιν· αἱ δ' ὥσπερ ἐν κατόπτρῳ θεασάμεναι τὴν αἰσχύνην τοῦ σώματος ἀπηγλαϊσμένης τῆς κόμης, ἀνέχονται τότε τὴν πρὸς τὸ χεῖρον ὁμιλίαν.*

3 *τοὺς θεοὺς* FD: *τὸν θεὸν* ABMG ‖ 5 *τῶν* om. AB | *τε καὶ*
*αι*
*ἡμιόνοις* om. A ‖ 8 *ἐξικνούμενος* AB: *ἐξικνούμενος* G: *ἐξικνούμεναι* FD: *ἐξικνουμέναις* M. ‖ 9 *λυποῦντα* om. A ‖ 10 *ἀναβάτῃ* AB: *ἀμβάτῃ* cett. ‖ 11 *τῶν* F: om. a ‖ 11 *προκόμιόν* AB: *προκόμιοί* cett. ‖ 12 *τε*] *δὲ*, distinctione post *χαίτη* posita, Weiske ‖ 21 *καὶ πάνυ* om. AB ‖ 22 *τ'*] *γε* Richards: *τι* Weiske: delet Zeune

τοῖς ἀκαθάρτοις. ταῦτα μὲν οὖν ἐὰν χρῇ· ἀρκεῖ δὲ καὶ ἡ τῶν σκελῶν ψῆξις αὐταῖς ταῖς χερσὶ γιγνομένη.

## VI.

Δηλώσομεν δὲ καὶ τοῦτο ὡς ἂν ἀβλαβέστατα μέν 1
τις ἑαυτῷ, τῷ δ' ἵππῳ ὠφελιμώτατα ψήχοι. ἢν μὲν γὰρ
εἰς τὸ αὐτὸ βλέπων τῷ ἵππῳ καθαίρῃ, κίνδυνος καὶ τῷ
γόνατι καὶ τῇ ὁπλῇ ἐς τὸ πρόσωπον πληγῆναι· ἢν δὲ 2
ἀντία τῷ ἵππῳ ὁρῶν καὶ ἔξω τοῦ σκέλους, ὅταν καθαίρῃ, κατὰ τὴν ὠμοπλάτην καθίζων ἀποτρίβῃ, οὕτω πάθοι μὲν ἂν οὐδέν, δύναιτο δ' ἂν καὶ τὴν χελιδόνα τοῦ ἵππου θεραπεύειν ἀναπτύσσων τὴν ὁπλήν. ὡς δ' αὔτως καὶ τὰ
ὄπισθεν σκέλη καθαιρέτω. εἰδέναι δὲ χρὴ τὸν περὶ τὸν 3
ἵππον ὅτι καὶ ταῦτα καὶ τἆλλα πάντα ὅσα πράττειν δεῖ ὡς ἥκιστα χρὴ κατὰ τὸ πρόσωπόν τε καὶ οὐρὰν ἀντίον ἑαυτὸν ποιήσαντα προσιέναι· ἢν γὰρ ἐπιχειρῇ ἀδικεῖν, κατ' ἀμφότερα ταῦτα κρείττων ὁ ἵππος ἀνθρώπου. ἐκ πλαγίου δ' ἄν τις προσιὼν ἀβλαβέστατα μὲν ἑαυτῷ,
πλεῖστα δ' ἂν ἵππῳ δύναιτο χρῆσθαι. ἐπειδὰν δὲ ἄγειν 4
δέῃ τὸν ἵππον, τὴν μὲν ὄπισθεν ἀγωγὴν διὰ τάδε οὐκ ἐπαινοῦμεν, ὅτι τῷ μὲν ἄγοντι οὕτως ἥκιστα ἔστι φυλάξασθαι, τῷ δὲ ἵππῳ οὕτω μάλιστα ἔξεστι ποιῆσαι ὅ, τι

4 Poll. I 202 ἐπὶ δὲ [ψηχόμενον τὸν ἵππον ἀνάγκη χρῆσθαι ταῖς ὁπλαῖς] τοὺς μὲν πρόσθεν πόδας ψήχων, κατόπιν παρελθὼν βλεπέτω ἵναπερ καὶ ὁ ἵππος, ὡς μηδὲ βουλόμενος αὐτὸν κρούειν δύνηται· ἐπὶ δὲ τοὺς κατόπιν μετιών, ἀντιμεταστρέψας ἑαυτὸν βλεπέτω ἀντία τοῖς ποσὶν οὓς καθαίρει, τρέψας τὸ πρόσωπον, ἵνα ὁ ἵππος παύηται. 10. Poll. I 199 καθαιρέτω τὴν χελιδόνα καὶ τὴν κοιλότητα τῆς ὁπλῆς θεραπευέτω.

4 ψήχοι FG: ψήχῃ MD: ψήζοι B: ψήζει A ‖ 5 αὐτὸ] ἀντίον et infra εἰς τὸ αὐτὸ pro ἀντία Schn. ‖ 8 κατιών Schn.: κλίνων Diels ‖ 11 τὸν prius om. A ‖ 13 [τὸ] Cobet | ⟨τὴν⟩ οὐρὰν Tommasini | ἀντίον ἑαυτὸν A: om. cett. unde ποιήσοντα Leuncl. ‖ 17 πλεῖστα] λῷστα Madvig (Adr. Crit. p. 361): κάλλιστα Herwerden: ῥᾷστα Richards | ⟨τῷ⟩ ἵππῳ Richards | δύναιτ' ἂν F | δὲ ABM[a]: γε cett.: γε ⟨μὴν⟩ Steph. ‖ 18 δέῃ Steph.: δεῖ (δὴ G) libri ‖ 18 οὐκ ἐπ. — διὰ τάδε (p. 16, 2) om. A.

5 *ἂν βούληται. τὸ δ' αὖ ἔμπροσθεν μακρῷ τῷ ἀγωγεῖ
προϊόντα διδάσκειν ὑφηγεῖσθαι τὸν ἵππον διὰ τάδε αὖ
ψέγομεν· ἔξεστι μὲν γὰρ τῷ ἵππῳ καὶ καθ' ὁπότερ' ἂν
βούληται τῶν πλαγίων κακουργεῖν, ἔξεστι δὲ ἀναστρε-*
6 *φόμενον ἀντίον γίγνεσθαι τῷ ἄγοντι. ἀθρόοι δὲ δὴ ἵπποι
πῶς ἄν ποτε ἀλλήλων δύναιντο ἀπέχεσθαι οὕτως ἀγό-
μενοι; ἐκ πλαγίου δὲ ἵππος ἐθισθεὶς παράγεσθαι ἥκιστα
μὲν ἂν καὶ ἵππους καὶ ἀνθρώπους δύναιτ' ἂν κακουργεῖν,
κάλλιστα δ' ἂν παρεσκευασμένος τῷ ἀναβάτῃ εἴη καὶ εἴ ποτε*
7 *ἐν τάχει ἀναβῆναι δεήσειεν. ἵνα δὲ ὁ ἱπποκόμος καὶ τὸν
χαλινὸν ὀρθῶς ἐμβάλῃ, πρῶτον μὲν προσίτω κατὰ τὰ
ἀριστερὰ τοῦ ἵππου· ἔπειτα τὰς μὲν ἡνίας περιβαλὼν
περὶ τὴν κεφαλὴν καθέτω ἐπὶ τῇ ἀκρωμίᾳ, τὴν δὲ
κορυφαίαν τῇ δεξιᾷ αἱρέτω, τὸ δὲ στόμιον τῇ ἀριστερᾷ*
8 *προσφερέτω. κἂν μὲν δέχηται, δῆλον ὅτι περιτιθέναι δεῖ
τὸν κεκρύφαλον· ἐὰν δὲ μὴ ὑποχάσκῃ, ἔχοντα δεῖ πρὸς
τοῖς ὀδοῦσι τὸν χαλινὸν τὸν μέγαν δάκτυλον τῆς ἀριστερᾶς
χειρὸς εἴσω τῆς γνάθου τῷ ἵππῳ ποιῆσαι. οἱ γὰρ πολλοὶ
τούτου γιγνομένου χαλῶσι τὸ στόμα. ἢν δὲ μηδ' οὕτω
δέχηται, πιεσάτω τὸ χεῖλος περὶ τῷ κυνόδοντι· καὶ πάνυ*
9 *τινὲς ὀλίγοι οὐ δέχονται τοῦτο πάσχοντες. δεδιδάχθω
δὲ καὶ τάδε ὁ ἱπποκόμος, πρῶτον μὲν μήποτε ἄγειν
τῆς ἡνίας τὸν ἵππον· τοῦτο γὰρ ἑτερογνάθους ποιεῖ·
ἔπειτα δὲ ὅσον δεῖ ἀπέχειν τὸν χαλινὸν τῶν γνάθων.
ὁ μὲν γὰρ ἄγαν πρὸς αὐταῖς τυλοῖ τὸ στόμα, ὥστε μὴ
εὐαίσθητον εἶναι, ὁ δὲ ἄγαν εἰς ἄκρον τὸ στόμα καθ-
ιέμενος ἐξουσίαν παρέχει συνδάκνοντι τὸ στόμιον μὴ*
10 *πείθεσθαι. χρὴ δὲ τὸν ἱπποκόμον καὶ τὰ τοιάδε παρα-*

---

16 Hesych. *κεκρυφάλους τοὺς τῶν ἵππων κορυφαστῆρας καὶ κορυφάντους.*

1 *τὸ* FD: *τῷ* BGM | *μικρῷ* B | *τῷ* del. Schn. | *ῥυταγωγεῖ* Castalio ‖ 2 *αὖ*] *οὐ* B ‖ 3 *ἔξεστι μὲν* om. A | *γὰρ*] *καὶ* B | *καὶ* A: om. cett. | *ὁπότερ' ἂν* A: *ὁποτέραν* cett.: *ὁπότερον* Zeune ‖ 4 ⟨*ἐκ*⟩ *τῶν* Schn. ‖ 11 *ἐμβάλλῃ* A: *ἐκβάλῃ* (?) B ‖ 13 *καθέτω* corr. ex *καθέτε* A: *καταθέτω* cett. ‖ 22 *δὲ* om. AB ‖ 23 ⟨*ἐκ μιᾶς*⟩ *τῆς ἡνίας* Schn. ‖ 26 *εὐαίσθητον* Cour. *εὐάιστητον* A: *ἀναίσθητον* cett.

τηρεῖν, εἰ μὴ ῥᾳδίως τὸν χαλινὸν ὁ ἵππος δέχεται αἰσθα-
νόμενος, ὅτι δεῖ πονεῖν. οὕτω γὰρ δὴ μέγα ἐστὶ τὸ
λαμβάνειν ἐθέλειν τὸν ἵππον τὸν χαλινόν, ὡς ὁ μὴ δε-
χόμενος παντάπασιν ἄχρηστος. ἢν δὲ μὴ μόνον ὅταν 11
πονεῖν μέλλῃ χαλινῶται, ἀλλὰ καὶ ὅταν ἐπὶ τὸν σῖτον
καὶ ὅταν ἐξ ἱππασίας εἰς οἶκον ἀπάγηται, οὐδὲν ἂν εἴη
θαυμαστὸν εἰ ἁρπάζοι τὸν χαλινὸν αὐτόματος προτεινό-
μενον. ἀγαθὸν δὲ τὸν ἱπποκόμον καὶ ἀναβάλλειν ἐπί- 12
στασθαι τὸν Περσικὸν τρόπον, ὅπως αὐτός τε ὁ δεσπότης,
ἤν ποτε ἀρρωστήσῃ ἢ πρεσβύτερος γίγνηται, ἔχῃ τὸν
εὐπετῶς ἀναβιβάσοντα, καὶ ἄλλῳ ἥν τινι βούληται τὸν
ἀναβαλοῦντα ἐπιχαρίσηται. τὸ δὲ μήποτε σὺν ὀργῇ τῷ 13
ἵππῳ προσφέρεσθαι, ἓν τοῦτο καὶ δίδαγμα καὶ ἔθισμα
πρὸς ἵππον ἄριστον. ἀπρονόητον γὰρ ἡ ὀργή, ὥστε
πολλάκις ἐξεργάζεται ὧν μεταμέλειν ἀνάγκη. καὶ ὅταν δὲ 14
ὑποπτεύσας τι ὁ ἵππος μὴ θέλῃ πρὸς τοῦτο προσιέναι,
διδάσκειν δεῖ ὅτι οὐ δεινά ἐστι, μάλιστα μὲν οὖν ἵππῳ
εὐκαρδίῳ, εἰ δὲ μή, ἁπτόμενον αὐτὸν τοῦ δεινοῦ δοκοῦντος
εἶναι καὶ τὸν ἵππον πρᾴως προσάγοντα. οἱ δὲ πληγαῖς 15
ἀναγκάζοντες ἔτι πλείω φόβον παρέχουσιν· οἴονται γὰρ
οἱ ἵπποι, ὅταν τι χαλεπὸν πάσχωσιν ἐν τῷ τοιούτῳ, καὶ
τούτου τὰ ὑποπτευόμενα αἴτια εἶναι. ἐπειδάν γε μὴν ὁ 16
ἱπποκόμος τὸν ἵππον παραδιδῷ τῷ ἀναβάτῃ, τὸ μὲν ἐπί-
στασθαι ὑποβιβάζεσθαι τὸν ἵππον, ὥστε εὐπετὲς εἶναι
ἀναβῆναι, οὐ μεμφόμεθα· τόν γε μέντοι ἱππέα νομί-
ζομεν χρῆναι μελετᾶν καὶ μὴ παρέχοντος ἵππου δύνα-
σθαι ἀναβαίνειν. ἄλλοτε μὲν γὰρ ἀλλοῖος ἵππος παρα-
πίπτει, ἄλλοτε δὲ ἄλλῳ ὁ αὐτὸς ὑπηρετεῖ.

---

24 Poll. I 213 ἔστι δὲ τοῦτο (sc. τὸ ὑποβιβάζεσθαι) διαστάντα τὰ σκέλη ἐγκαθίζειν τε καὶ ταπεινοῦν ἑαυτόν, ὥστε εὐπετῶς ἀναβαίνειν τὸν ἱππέα.

1 παρατηρεῖν AB: παρωξύνθαι DF: παροξύνθαι GM | μὴ — αἰσθανόμενος A: om. cett. || 2 ὅτι A: τι cett. | πονεῖν ABDF: πνεῖν MG || 6 ἀπάγηται] ὅταν ἀπ. B || 7 ἁρπάζοι A: ἁρπάζει cett. || 10 γένηται F || 11 ἀναβιβάσοντα A: -ζοντα cett. || 12 τῷ om. A. || 17 δεινὸν Schn.: δεινὰ ⟨τὰ τοιαῦτα⟩ Richards | πραως προσάγοντα, μάλιστα A || 18 αὐτον D | 23 παραδῷ Weiske || 28 ἄλλως Dind.

# VII.

1 Ὅταν γε μὴν παραδέξηται τὸν ἵππον ὡς ἀναβη-
σόμενος, νῦν αὖ γράψομεν ὅσα ποιῶν ὁ ἱππεὺς καὶ ἑαυτῷ
καὶ τῷ ἵππῳ ὠφελιμώτατος ἂν ἐν τῇ ἱππικῇ εἴη. πρῶτον
μὲν τοίνυν τὸν ῥυταγωγέα χρὴ ἐκ τῆς ὑποχαλινιδίας ἢ
ἐκ τοῦ ψαλίου ἠρτημένον εὐτρεπῆ εἰς τὴν ἀριστερὰν
χεῖρα λαβεῖν, καὶ οὕτω χαλαρὸν ὡς μήτ᾽ ἂν ἀνιὼν τῶν
τριχῶν παρὰ τὰ ὦτα λαβόμενος μέλλῃ ἀναβήσεσθαι μήτ᾽
ἂν ἀπὸ δόρατος ἀναπηδᾷ, σπᾶν τὸν ἵππον. τῇ δεξιᾷ δὲ
τὰς ἡνίας παρὰ τὴν ἀκρωμίαν λαμβανέτω ὁμοῦ τῇ χαίτῃ,
ὅπως μηδὲ καθ᾽ ἕνα τρόπον ἀναβαίνων σπάσῃ τῷ χαλινῷ
2 τὸ στόμα τοῦ ἵππου. ἐπειδὰν δὲ ἀνακουφίσῃ ἑαυτὸν εἰς
τὴν ἀνάβασιν, τῇ μὲν ἀριστερᾷ ἀνιμάτω τὸ σῶμα, τὴν
δὲ δεξιὰν ἐκτείνων συνεπαιρέτω ἑαυτόν (οὕτω γὰρ ἀνα-
βαίνων οὐδὲ ὄπισθεν αἰσχρὰν θέαν παρέξει) συγκεκαμμένῳ
τῷ σκέλει, καὶ μηδὲ τὸ γόνυ ἐπὶ τὴν ῥάχιν τοῦ ἵππου
τιθέτω, ἀλλ᾽ ὑπερβησάτω ἐπὶ τὰς δεξιὰς πλευρὰς τὴν
κνήμην. ὅταν δὲ περιενέγκῃ τὸν πόδα, τότε καὶ τὼ γλουτὼ
3 καθέτω ἐπὶ τὸν ἵππον. ἢν δὲ τύχῃ ὁ ἱππεὺς τῇ μὲν
ἀριστερᾷ ἄγων τὸν ἵππον, τῇ δὲ δεξιᾷ τὸ δόρυ ἔχων,
ἀγαθὸν μὲν ἡμῖν δοκεῖ εἶναι τὸ καὶ ἐκ τῶν δεξιῶν μελε-
τῆσαι ἀναπηδᾶν. μαθεῖν δ᾽ οὐδὲν δεῖ ἄλλο ἢ ἃ μὲν τότε
τοῖς δεξιοῖς τοῦ σώματος ἐποίει τοῖς ἀριστεροῖς ποιεῖν,
4 ἃ δὲ τότε τοῖς ἀριστεροῖς τοῖς δεξιοῖς. τούτου δ᾽ ἕνεκεν
καὶ ταύτην ἐπαινοῦμεν τὴν ἀνάβασιν, ὅτι ἅμα τε ἀνα-
βεβηκὼς ἂν εἴη καὶ κατεσκευασμένος πάντα, εἴ τι δέοι
5 ἐξαίφνης πρὸς πολεμίους ἀγωνίζεσθαι. ἐπειδάν γε μὴν

---

26 Poll. I 215 εἰ δ᾽ ἐγκαθίζεις ἵππῳ, μὴ πάνυ τοὺς μηροὺς πιέζειν, ἀλλ᾽ αἰωρεῖν ὑγροὺς τοὺς πόδας, καὶ παραπλήσιον εἶναι ἑστηκότι· καὶ γὰρ ἡ ἰσχὺς πλέον ἐπὶ τῶν ἑστηκότων ἢ ἐπὶ τῶν ἐγκαθε-

1 ἵππον ὡς ἀναβησόμενος Camerarius, Leuncl.: ἱππέα ὡς ἀναβησόμενον libri ‖ 3—4 πρῶτον — ὑποχαλινιδίας om. A ‖ 6 ἀνιὼν ABG: ἀνιῶν DFM: ἀνιμῶν Steph. ‖ 13 ἐντείνων Cour. ‖ 15 τῷ AB: δὲ τῷ cett. | μηδὲ Hermann: idem καὶ deleto, vel μὴ Richards: μήτε libri | τιθέτω τοῦ ἵππου AB ‖ 17 τὼ γλουτὼ Steph.: τῷ γλουτῷ libri ‖ 118 καταθέτω Steph. ‖ 21 οὐδὲν D: οὐθὲν (οὐθ᾽ ἓν B) cett.

καθίζηται ἐάν τε ἐπὶ ψιλοῦ ἐάν τε ἐπὶ τοῦ ἐφιππίου, οὐ τὴν ὥσπερ ἐπὶ τοῦ δίφρου ἕδραν ἐπαινοῦμεν, ἀλλὰ τὴν ὥσπερ εἰ ὀρθὸς ἂν διαβεβηκὼς εἴη τοῖν σκελοῖν. τοῖν τε γὰρ μηροῖν οὕτως ἂν ἔχοιτο μᾶλλον τοῦ ἵππου, καὶ ὀρθὸς ὢν ἐρρωμενεστέρως ἂν δύναιτο καὶ ἀκοντίσαι καὶ πατάξαι ἀπὸ τοῦ ἵππου, εἰ δέοι. χρὴ δὲ καὶ χαλαρὰν ἀπὸ τοῦ 6
γόνατος ἀφεῖσθαι τὴν κνήμην σὺν τῷ ποδί. σκληρὸν μὲν γὰρ ἔχων τὸ σκέλος εἰ προσκόψειέ τῳ, προσκεκλασμένος ἂν εἴη· ὑγρὰ δὲ οὖσα ἡ κνήμη, εἴ τι καὶ προσπίπτοι αὐτῇ, ὑπείκοι ἂν καὶ τὸν μηρὸν οὐδὲν μετακινοίη. δεῖ δὲ τὸν 7
ἱππέα καὶ τὸ ἄνωθεν τῶν ἑαυτοῦ ἰσχίων σῶμα ὡς ὑγρότατον ἐθίζειν εἶναι. οὕτω γὰρ ἂν πονεῖν τε ἔτι μᾶλλον δύναιτο, καὶ εἰ ἕλκοι τις αὐτὸν ἢ ὠθοίη, ἧττον ἂν σφάλλοιτο. ἐπειδάν γε μὴν καθίζηται, πρῶτον μὲν ἠρεμεῖν 8
δεῖ διδάσκειν τὸν ἵππον, ἕως ἂν καὶ ὑποσπάσηται, ἤν τι δέηται, καὶ ἡνίας ἰσώσηται, καὶ δόρυ λαβεῖν ὡς ἂν εὐφορώτατον εἴη· ἔπειτα δὲ ἐχέτω τὸν ἀριστερὸν βραχίονα πρὸς ταῖς πλευραῖς· οὕτω γὰρ εὐσταλέστατός τε ὁ ἱππεὺς ἔσται καὶ ἡ χεὶρ ἐγκρατεστάτη. ἡνίας γε μὴν ἐπαινοῦμεν 9
ὁποῖαι ἴσαι τέ εἰσι καὶ μὴ ἀσθενεῖς μηδὲ ὀλισθηραὶ μηδὲ παχεῖαι, ἵνα καὶ τὸ δόρυ ὅταν δέῃ δέχεσθαι ἡ χεὶρ δύνηται.

Ὅταν δὲ προχωρεῖν σημήνῃ τῷ ἵππῳ, βάδην μὲν 10
ἀρχέσθω· τοῦτο γὰρ ἀταρακτότατον. ἡνιοχείτω δέ, ἤν

---

ζομένων. πειρῶ δὲ τῷ σώματι μηδεμὸς τῶν ἐργαζομένων τοῦ ἵππου προσάπτεσθαι, οἷον ποδῶν ἢ πλευρᾶς· ἐκείνους τε γὰρ διαφέρει καὶ ταύτην παραφέρει. εἰ δὲ ἔποχος εἴης ἐκ μελέτης, καὶ ῥᾷόν σε οἴσει ὁ ἵππος. εἰ μέντοι οὕτω καθίζεις, καὶ ἀκοντιεῖς ἐπισκοπώτατα κτλ. (c. f. ad. XII 13).

2 τὴν prius: μὴν B | τοῦ delet Cobet || 3 εἰ A: om. cett. | ορθὸς ABD: ὀρθῶς cett. || 4 οὕτω γ' D || 8 κατακεκλασμένος Cobet || 12 πονεῖν A: ποιεῖν cett. | τε A: om. cett.: τέ τι Dind. || 13 σφάλλοιτο Steph.: ἐσφάλλοιτο Castalio: ἀφάλλοιτο A: ἐφ. cett. || 14 κάθηται Dind. || 16 ⟨τὰς⟩ ἡνίας . . . ⟨τὸ⟩ δόρυ Schn. | δέῃ . . . ἰσώσῃ Cour. | λάβῃ Castalio | 16 ὡς A: ἕως cett. | ἂν om. A || 18 εὐτελέστατός V || 23 σημαίνῃ A.

*μὲν κυφαγωγότερος ᾖ ὁ ἵππος, ἀνωτέρω ταῖς χερσίν, ἢν*
*δὲ μᾶλλον ἀνακεκυφώς, κατωτέρω· οὕτω γὰρ ἂν μάλιστα*
11 *κοσμοίη τὸ σχῆμα. μετὰ δὲ ταῦτα τὸν αὐτοφυῆ διατροχάζων*
*διαχαλῴη τ᾿ ἂν ἀλυπότατα τὸ σῶμα καὶ εἰς τὸ ἐπιραβδο-*
*φορεῖν ἥδιστ᾿ ἂν ἀφικνοῖτο. ἐπείπερ δὲ καὶ ἀπὸ τῶν ἀρι-*
*στερῶν ἄρχεσθαι εὐδοκιμώτερον, ὧδ᾿ ἂν μάλιστα ἀπὸ τού-*
*των ἄρχοιτο, εἰ διατροχάζοντος μέν, ὁπότε ἀναβαίνοι τῷ*
12 *δεξιῷ, τότε σημαίνοι τῷ ἵππῳ τὸ ἐπιραβδοφορεῖν. τὸ γὰρ*
*ἀριστερὸν μέλλων αἴρειν ἐκ τούτου ἂν ἄρχοιτο, καὶ ὁπότε*
*ἐπὶ τὰ εὐώνυμα ἀναστρέφοι, τότε καὶ τῆς ἐπισκελίσεως*
*ἄρχοιτο. καὶ γὰρ πέφυκεν ὁ ἵππος εἰς μὲν τὰ δεξιὰ στρεφό-*
*μενος τοῖς δεξιοῖς ἀφηγεῖσθαι, εἰς εὐώνυμα δὲ τοῖς ἀρι-*
13 *στεροῖς. ἱππασίαν δὲ ἐπαινοῦμεν τὴν πέδην καλουμένην· ἐπ᾿*
*ἀμφοτέρας γὰρ τὰς γνάθους στρέφεσθαι ἐθίζει. καὶ τὸ*
*μεταβάλλεσθαι δὲ τὴν ἱππασίαν ἀγαθόν, ἵνα ἀμφότεραι*
14 *αἱ γνάθοι καθ᾿ ἑκάτερον τῆς ἱππασίας ἰσάζωνται. ἐπαι-*
*νοῦμεν δὲ καὶ τὴν ἑτερομήκη πέδην μᾶλλον τῆς κυκλο-*
*τεροῦς. ἥδιον μὲν γὰρ οὕτως ⟨ἂν⟩ ἀναστρέφοιτο ὁ ἵππος*
*ἤδη πλήρης ὢν τοῦ εὐθέος, καὶ τό τε ὀρθοδρομεῖν καὶ*
15 *τὸ ἀποκάμπτειν ἅμα μελετῴη ἄν. δεῖ δὲ καὶ ὑπολαμ-*
*βάνειν ἐν ταῖς στροφαῖς· οὐ γὰρ ῥᾴδιον τῷ ἵππῳ οὐδ᾿*
*ἀσφαλὲς ἐν τῷ τάχει ὄντα κάμπτειν ἐν μικρῷ, ἄλλως*

---

1 Poll. I 197 *κυφαγωγότερος.* 8 Poll. I 220 *τὸ δὲ ἐπιραβδοφορεῖν τὸν ἵππον, ὅπερ γίνεται εἴ τις εἰς δρόμον ἐξελαύνει, οὐ πάνυ ἐπαινοῦσιν οἱ ἱππικοί.* 10 Poll. I 214 *ἐπισκέλισιν δ᾿ ὁ Ξενοφῶν καλεῖ τὴν ἀρχὴν τῆς τῶν ποδῶν κινήσεως.* 17 Poll. I 205 *ἡ γὰρ ἐπ᾿ εὐθέος κατὰ μῆκος ἔλασις κοπωδεστέρα· καλεῖται δὲ αὕτη ὀρθοδρομεῖν, ὥσπερ τὸ ἐναντίον ἀποκάμπτειν.*

1 *κυφαγωγότερος* Poll: *κουφαγωγότερος* BDFG: *κουφαγότερος* A: *κουφαγωγότατος* M | *ταῖς χερσίν* delet Herwerden ‖ 4 *ἐπιρραβδοφορεῖν* et infra Dind. ‖ 5 *ἐπείπερ δὲ* Hermann: *ἐπειδὴ γὰρ* Leuncl.: *ἐπειδήπερ* K: *ἐπεὶ δέ περ* corr. in *ἐπειδή περ* ab ead. m. M[a]: *ἐπεὶ δέ περ* cett. ‖ 6 *ὧν δ᾿ ἂν* B ‖ 7 *τούτου* AB | *ὁπόταν βαίνοι* Christianus: *ὁπότ᾿ ἂν βαίνῃ* Cour.: *ὁπόταν ἐμβαίνοι* Hermann ‖ 8 *τὸ ἐπιραβδοφορεῖν* Zeune: *τῷ ἐπ.* Steph.: *ἐπὶ τὸ ῥαβδοφορεῖν* ABMG: *ἐπὶ τῷ ῥ.* DF ‖ 10 *στρέφοιτο* Schn. | *ἐπισκελίσεως* Poll.: *ἐπικλίσεως* libri ‖ 11 *ἂν ἄρχοιτο* F ‖ 18 ⟨*ἂν*⟩ Dind.: *ἂν στρέφοιτο* Schn. ‖ 22 *ὄντι* D.

*τε κἂν ἀπόκροτον ᾖ ὀλισθηρὸν ᾖ τὸ χωρίον. ὅταν γε μὴν* 16
*ὑπολαμβάνῃ, ὡς ἥκιστα μὲν χρὴ τὸν ἵππον πλαγιοῦν τῷ*
*χαλινῷ, ὡς ἥκιστα δ' αὐτὸν πλαγιοῦσθαι· εἰ δὲ μή, εὖ*
*χρὴ εἰδέναι ὅτι μικρὰ πρόφασις ἀρκέσει κεῖσθαι καὶ*
*αὐτὸν καὶ τὸν ἵππον. ἐπειδάν γε μὴν ἐκ τῆς στροφῆς* 17
*εἰς τὸ εὐθὺ βλέπῃ ὁ ἵππος, ἐν τούτῳ πρὸς τὸ θᾶττον*
*αὐτὸν ὁρμάτω. δῆλον γὰρ ὅτι καὶ ἐν τοῖς πολέμοις αἱ*
*στροφαί εἰσιν τοῦ διώκειν ἢ τοῦ ἀποχωρεῖν ἕνεκα. ἀγα-*
*θὸν οὖν τὸ στραφέντα ταχύνειν μελετᾶν. ὅταν δὲ ἱκα-* 18
*νῶς ἤδη δοκῇ τὸ γυμνάσιον τῷ ἵππῳ ἔχειν, ἀγαθὸν καὶ*
*διαναπαύσαντα ὁρμῆσαι αὖθις ἐξαίφνης εἰς τὸ τάχι-*
*στον, καὶ ἀφ' ἵππων μέντοι καὶ πρὸς ἵππους· καὶ ἐκ*
*τοῦ ταχέος αὖ ὡς ἐγγυτάτω ἠρεμίζειν, καὶ ἐκ τοῦ ἑστά-*
*ναι δὲ στρέψαντα δεῖ πάλιν ὁρμᾶν. πρόδηλον γὰρ ὅτι*
*ἔσται ποτὲ ὅτε ἑκάστου τούτων δεήσει. ὅταν γε μὴν κατα-* 19
*βαίνειν ἤδη καιρὸς ᾖ, μήτε ἐν ἵπποις ποτὲ καταβαίνειν*
*μήτε παρὰ σύστασιν ἀνθρώπων μήτ' ἔξω τῆς ἱππασίας,*
*ἀλλ' ὅπουπερ καὶ πονεῖν ἀναγκάζεται ὁ ἵππος, ἐνταῦθα*
*καὶ τῆς ῥᾳστώνης τυγχανέτω.*

## VIII.

*Ἐπειδήπερ ἔστιν ὅπου τρέχειν δεήσει τὸν ἵππον καὶ* 1
*πρανῆ καὶ ὄρθια καὶ πλάγια, ἔστι δ' ὅπου διαπηδᾶν, ἔστι δ'*
*ὅπου καὶ ἐκπηδᾶν, ἔνθα δὲ καθάλλεσθαι, καὶ ταῦτα πάντα*

---

1 Poll. 205 *ἐν δὲ ταῖς στροφαῖς οὐ δεῖ ἐξελαύνειν τὸν ἵππον ἀλλ' ἀναλαμβάνειν, ὅπερ καὶ ὑπολαμβάνειν καλεῖται, καὶ κατέχειν καὶ ἠρεμίζειν καὶ ἀνέχειν, οὐδὲ πλαγιοῦν οὔτε ἑαυτὸν οὔτε τὸν ἵππον· τάχιστα γὰρ ἂν ἐν τούτῳ κατενεχθεῖεν ἀμφότεροι.*

1 *ἐπίκροτον* Leuncl. | *μὴ* Camerarius, Brodaeus ‖ 6 *εὐθὺ* A: *εὐθὺς* cett. ‖ 7 *πολέμοις* A: *πολεμίοις* cett. | 8 *τοῦ* prius A: *αἱ τοῦ*, supr. *ἢ* m²M: *αἱ τοῦ* a ‖ 11 *διαναπαύσαντα* A: *διαπαύσαντα* cett. | *αὖθις ἐξαίφνης* Tommasini: *αὖθις* A: *ἐξαίφνης* cett. ‖ 12 *καὶ πρὸς* Camerarius Leuncl.: *μὴ πρὸς* libri ‖ 13 *ταχέος* AB: *ταχέως* cett. | *ὡς ἐν βραχυτάτῳ* K ‖ 14 *δεῖ* del. Anonym. Diar. Hal. 1826. 194. p. 728 | *καὶ γὰρ πρόδηλον ὅτι* D ‖ 15 *ἑκάστου* A: *ἑκατέρου* cett. | 20 *ἐπειδήπερ* ⟨*δὲ*⟩ Richards ‖ 21 *ὄρθια* Cour.: *ὄρεια* libri ‖ 22 *δὲ* AB: *δὲ καὶ* cett.

διδάσκειν τε δεῖ καὶ μελετᾶν καὶ αὐτὸν [καθόλου] καὶ τὸν
ἵππον. οὕτω γὰρ ἂν σωτήριοί τε εἶεν ἀλλήλοις καὶ χρησιμώ-
2 τεροι ἂν δοκοῖεν εἶναι. εἰ δέ τις διλογεῖν ἡμᾶς οἴεται, ὅτι
περὶ τῶν αὐτῶν λέγομεν νῦν τε καὶ πρόσθεν, οὐ διλογία
ταῦτ᾽ ἐστίν. ὅτε μὲν γὰρ ἐωνεῖτο, πειρᾶσθαι ἐκελεύομεν,
εἰ δύναιτο ὁ ἵππος ταῦτα ποιεῖν· νῦν δὲ διδάσκειν φαμὲν
3 χρῆναι τὸν ἑαυτοῦ καὶ γράψομεν ὡς δεῖ διδάσκειν. τὸν
μὲν γὰρ παντάπασιν ἄπειρον τοῦ διαπηδᾶν λαβόντα δεῖ
τοῦ ἀγωγέως καταβεβλημένου προδιαβῆναι αὐτὸν τὴν τά-
φρον, ἔπειτα δὲ ἐντείνειν δεῖ τῷ ἀγωγεῖ ὡς διάλληται.
4 ἢν δὲ μὴ ἐθέλῃ, ἔχων τις μάστιγα ἢ ῥάβδον ἐμβαλέτω
ὡς ἰσχυρότατα· καὶ οὕτως ὑπεραλεῖται οὐ τὸ μέτρον, ἀλλὰ
πολὺ πλεῖον τοῦ καιρίου· καὶ τὸ λοιπὸν οὐδὲν δεήσει
παίειν, ἀλλ᾽ ἢν μόνον ἴδῃ ὄπισθέν τινα ἐπελθόντα, ἁλεῖ-
5 ται. ἐπειδὰν δὲ οὕτω διαπηδᾶν ἐθισθῇ, καὶ ἀναβεβηκὼς
ἐπαγέτω τὸ μὲν πρῶτον μικράς, ἔπειτα δὲ καὶ μείζους.
ὅταν δὲ μέλλῃ πηδᾶν, παισάτω αὐτὸν τῷ μύωπι. ὡσαύ-
τως δὲ καὶ τὸ ἀναπηδᾶν καὶ τὸ καταπηδᾶν διδάσκειν
⟨δεῖ⟩ παίσαντα τῷ μύωπι. ἀθρόῳ γὰρ τῷ σώματι ταῦτα
πάντα ποιῶν καὶ ἑαυτῷ ὁ ἵππος καὶ τῷ ἀναβάτῃ ἀσφα-
λέστερον ποιήσει μᾶλλον ἢ ἂν ἐλλείπῃ τὰ ὄπισθεν ἢ δια-
6 πηδῶν ἢ ἀνορούων ἢ καθαλλόμενος. εἴς γε μὴν τὸ κάταν-
τες, πρῶτον χρὴ ἐν μαλακῷ χωρίῳ διδάσκειν. καὶ τελευ-
τῶν, ἐπειδὰν τοῦτο ἐθισθῇ, πολὺ ἥδιον τὸ πρανὲς τοῦ
ὀρθίου δραμεῖται. ἃ δὲ φοβοῦνταί τινες μὴ ἀπορρηγνύ-
ωνται τοὺς ὤμους κατὰ τὰ πρανῆ ἐλαυνόμενοι, θαρρούν-

---

26 Schol. ad Poll. I 187 οἱ Πέρσαι δὲ καὶ Ὀδρύσαι, φησί, τοὺς ἵππους μεμελετήκασι φέρειν.

1 καθόλου uncis incl. Dind. ‖ 7 ἑαυτοῦ καὶ om. A ‖ 9 καταβεβλημένον Steph., corr.[2] M[a]: καταβεβλημένον libri ‖ 13 καιρίου A: καιροῦ cett. ‖ 16 ἀγέτω .... ⟨ἐπὶ⟩ μικρὰς .... ⟨ἐπὶ⟩ μείζους Schn.: ἐπαγέτω .... ⟨ἐπὶ⟩ μικρὰς ..... μείζους Leuncl. ‖ 18 τὸ alterum om. AB | διδάσκειν BGM: διδάσκει A: διδάσκων DF ‖ 19 δεῖ add. Tommasini | παίσαντα AB: παισάτω cett. ‖ 21 μᾶλλον—ὄπισθεν om. A | ἂν ἐλλείπῃ Leuncl.: ἄνενα εἴ πη B: ἀνεναεὶ πῇ F: ἄνενα εἰ πῇ M: ἂν ἐναειπῇ G: ἢ ἄν, lac. post ἂν relicta et ἀνεναεὶ in marg. add., D.

των μαθόντες ὅτι Πέρσαι καὶ Ὀδρύσαι ἅπαντες τὰ κατ-
άντη ἁμιλλώμενοι οὐδὲν ἧττον τῶν Ἑλλήνων ὑγιεῖς τοὺς
ἵππους ἔχουσι. παρήσομεν δὲ οὐδὲ ὅπως τὸν ἀναβάτην 7
ὑπηρετεῖν δεῖ πρὸς ἕκαστα τούτων· χρὴ γὰρ ὁρμῶντος μὲν
ἐξαίφνης τοῦ ἵππου προνεύειν· ἧττον γὰρ ἂν καὶ ὑποδύοι ὁ
ἵππος καὶ ἀναβάλλοι τὸν ἀναβάτην· ἐν μικρῷ δὲ ἀναλαμβα-
νομένου ἀναπίπτειν· ἧττον γὰρ ἂν αὐτὸς κόπτοιτο. τάφρον 8
δὲ διαλλομένου καὶ πρὸς ὄρθιον ἱεμένου, καλὸν χαίτης ἐπι-
λαμβάνεσθαι, ὡς μὴ ὁ ἵππος τῷ τε χωρίῳ ἅμα καὶ τῷ
χαλινῷ βαρύνηται. εἴς γε μὴν τὸ πρανὲς καὶ ἑαυτὸν
ὑπτιώτερον ποιητέον καὶ τοῦ ἵππου ἀντιληπτέον τῷ
χαλινῷ, ὡς μὴ προπετῶς εἰς τὸ κάταντες μήτε αὐτὸς
μήτε ὁ ἵππος φέρηται.

Ὀρθῶς δ' ἔχει καὶ τὸ ἄλλοτε μὲν ἐν ἄλλοις τόποις, 9
ἄλλοτε δὲ μακρὰς ἄλλοτε δὲ βραχείας τὰς ἱππασίας ποιεῖ-
σθαι. ἀμισέστερα γὰρ καὶ ταῦτα τῷ ἵππῳ τοῦ ἀεὶ ἐν τοῖς
αὐτοῖς τόποις καὶ ὁμοίας τὰς ἱππασίας ποιεῖσθαι. ἐπεὶ δὲ 10
δεῖ ἐν παντοίοις τε χωρίοις τὸν ἱππέα ἀνὰ κράτος ἐλαύνοντα
ἔποχον εἶναι καὶ ἀπὸ τοῦ ἵππου τοῖς ὅπλοις καλῶς
δύνασθαι χρῆσθαι, ὅπου μέν ἐστι χωρία ἐπιτήδεια καὶ
θηρία, ἄμεμπτος ἡ ἐν θήραις μελέτη τῆς ἱππικῆς· ὅπου δὲ
ταῦτα μὴ ὑπάρχει, ἀγαθὴ ἄσκησις καὶ ἣν δύο ἱππότα
συντιθεμένω ὁ μὲν φεύγῃ ἐπὶ τοῦ ἵππου παντοῖα χωρία,
καὶ τὸ δόρυ εἰς τοὔπισθεν μεταβαλλόμενος ὑποχωρῇ, ὁ δὲ
διώκῃ, ἐσφαιρωμένα τε ἔχων ἀκόντια καὶ δόρυ ὡσαύτως

14 Poll. I 206 εἰ δὲ καὶ τὰ χωρία ὑπαλλάττοι τις, ἐν χάριτι μᾶλλόν ἐστι τῷ ἵππῳ· ἀμισέστερα γὰρ αὐτῷ τὰ καινὰ χωρία, ἀπαγορεύει δὲ τοῖς συνήθεσι. 25 Poll. I 212 ἐὰν μελετᾷς ἀφ' ἵππου

1 μαθέτωσαν, omisso θαρρούντων, AB | ⟨εἰς⟩ τὰ Steph. ‖ 5 τοῦ A: om. cett. ‖ 6 ἀναβάλοι Cobet ‖ 8 ἱεμένου B: ἱεμ. a (om. acc. A) | καλὸν ABFG: κακὸν DM: οὐ κακὸν L: οὐ add. m² E ‖ 11 ποιητέον A: om. cett. ‖ 16 τῷ ἵππῳ καὶ ταῦτα D ‖ 17 ὁμοίας AB: ὁμοίως cett. ‖ 18 ἱππέα Hartman: ἵππον libri ‖ 21 δ' ἂν .... ὑπάρχῃ Steph. ‖ 22 ὑπάρχει BDF: -χειν A: -χῃ MG | ἵππότα A: ἱππότα B: ἱππότε$^{αι}$ G: ἱππόται cett. ‖ 23 συντιθεμένοι corr. in -μένω B: συνθεμένω Dind. | φεύφῃ F: corr. ex -ει D: φεύγει a ‖ 24 μεταβαλόμενος F.

πεπραγματευμένον· καὶ ὅπου μὲν ἂν εἰς ἀκόντιον ἀφι-
κνῆται, ἀκοντίζῃ τὸν φεύγοντα τοῖς σφαιρωτοῖς· ὅπου δ' ἂν
11 εἰς δόρατος πληγήν, τῷ δόρατι παίῃ τὸν ἁλισκόμενον. ἀγα-
θὸν δὲ κἂν ποτε συμπέσωσιν, ἑλκύσαντα ἐφ' ἑαυτὸν τὸν
πολέμιον ἐξαίφνης ἀπῶσαι· τοῦτο γὰρ καταβλητικόν. ὀρθῶς
δὲ ἔχει καὶ τῷ ἑλκομένῳ ἐπελαύνειν τὸν ἵππον· τοῦτο γὰρ
ποιῶν ὁ ἑλκόμενος καταβάλοι ἂν μᾶλλον τὸν ἕλκοντα ἢ
12 καταπέσοι. ἢν δέ ποτε καὶ στρατοπέδου ἀντικαθημένου
ἀνθιππεύωσιν ἀλλήλοις, καὶ διώκωσι μὲν μέχρι τῆς πολε-
μίας φάλαγγος τοὺς ἀντίους, φεύγωσι δὲ μέχρι τῆς φιλίας,
ἀγαθὸν καὶ ἐνταῦθα ἐπίστασθαι ὅτι, ἕως μὲν ἂν παρὰ
τοὺς φίλους τις ᾖ, καλὸν καὶ ἀσφαλὲς τὸ ἐν πρώτοις
ἀναστρέψαντα ἀνὰ κράτος ἐπικεῖσθαι, ὅταν δ' ἐγγὺς τῶν
ἐναντίων γίγνηται, ὑποχείριον τὸν ἵππον ἔχειν. οὕτω
γὰρ ἂν ὡς τὸ εἰκὸς μάλιστα δύναιτο βλάπτων τοὺς ἐν-
13 αντίους μὴ βλάπτεσθαι ὑπ' αὐτῶν. ἀνθρώποις μὲν οὖν
ἄνθρωπον ἔδοσαν οἱ θεοὶ λόγῳ διδάσκειν ἃ δεῖ ποιεῖν,
ἵππον δὲ δῆλον ὅτι λόγῳ μὲν οὐδὲν ἂν διδάξαις· ἢν δὲ
ὅταν μὲν ποιήσῃ ὡς ἂν βούλοιο, ἀντιχαρίσῃ τι αὐτῷ, ὅταν
δὲ ἀπειθῇ, κολάζῃς, οὕτω μάλιστ' ἂν μάθοι τὸ δέον
14 ὑπηρετεῖν. καὶ ἔστι μὲν τοῦτο ἐν βραχεῖ εἰπεῖν, δι'
ὅλης δὲ τῆς ἱππικῆς παρακολουθεῖ. καὶ γὰρ χαλινὸν
μᾶλλον ἂν λαμβάνοι, εἰ ὁπότε δέξαιτο ἀγαθόν τι αὐτῷ
ἀποβαίνοι· καὶ διαπηδῴη δ' ἂν καὶ ἐξάλλοιτο καὶ τἆλλα

---

*τὰ στρατιωτικὰ ἀνθιππεύων ἑτέροις, ἀκοντίοις ἐσφαιρωμένοις κέχρησο καὶ δόρατι ὁμοίως πεπραγματευμένῳ σφαιρωτῷ, ὥστε εἶναι τὴν πληγὴν ἀσινῆ.* 3 Ibid. *καλὸν δὲ λαβόμενον τοῦ ἀντιπάλου, καὶ ἑλκύσαντα ἐφ' ἑαυτόν, ἄφνω ἀφεῖναι· τὸ γὰρ τοιοῦτον καταβλητικόν.*

3 *τῷ δόρατι* A: om. cett. ‖ 4 *ἑλκύσαντα* F: *-σαντας* A: *-σαντες* a ‖ 5 *πόλεμον* B ‖ 7 *καταβάλλοι* D ‖ 10 *ἐναντίους* DF ‖ 11 *ἀγαθὸν δὴ* Cour. (*ἀγ. δὲ* N) ‖ 12 *φιλίους* A | *ἴῃ* Steph. ‖ 13 *ἀναστρέψαντα* AB: *ἐπιστρέψαντα* cett. ‖ 17 *ἔδοσαν οἱ θεοὶ* A: *θεοὶ ἔδοσαν* cett. (om. *θεοὶ* B) ‖ 19 *βούλοιο* A: *βούλῃ* F: *βούληται* a | *ἀντιχαρίσῃ τὶ* A: *ἀντιχαρίσηται* BMG: *ἀντιχαρίσῃ* DF ‖ 20 *κολάζῃς* F: *κολάζοις* a: *κολάσῃς* Bornemann ad. Conv. IV 33 | *μάλιστ' ἂν* A: *μάλιστα* cett. ‖ 22 *δὲ* om. AB | *παρακολουθοῦν* A ‖ 23 *δέξαιτο* A: *δέξοιτο* cett. ‖ 24 *ἀποβαίνοι* AF: *ἀποβαίνῃ* BMG: *-ει* D.

πάντα ὑπηρετοίη ἄν, εἰ προσδοκῴη, ὁπότε τὰ σημαινόμενα πράξοι, ῥᾳστώνην τινά.

## IX.

Καὶ τὰ μὲν δὴ εἰρημένα ταῦτ᾽ ἐστίν, ὡς ἂν ἥκιστα 1
μὲν ἐξαπατῷτο καὶ πῶλον καὶ ἵππον ὠνούμενος, ἥκιστα
δ᾽ ἂν διαφθείροι χρώμενος, μάλιστα δ᾽ ἂν ἵππον ἀπο-
δεικνύοι, εἰ δέοι, ἔχοντα ὧν ἱππεὺς δεῖται εἰς πόλεμον.
καιρὸς δ᾽ ἴσως γράψαι καὶ εἴ ποτε συμβαίη θυμοει-
δεστέρῳ ἵππῳ τοῦ καιρίου χρῆσθαι ἢ βλακωδεστέρῳ, ὡς
ἂν ὀρθότατα ἑκατέρῳ χρῷτο. πρῶτον μὲν τοίνυν χρὴ 2
τοῦτο γνῶναι ὅτι ἐστὶ θυμὸς ἵππῳ ὅπερ ὀργὴ ἀνθρώπῳ.
ὥσπερ οὖν καὶ ἄνθρωπον ἥκιστ᾽ ἂν ὀργίζοι τις [ὁ] μήτε
λέγων χαλεπὸν μηδὲν μήτε ποιῶν, οὕτω καὶ ἵππον θυ-
μοειδῆ ὁ μὴ ἀνιῶν ἥκιστ᾽ ἂν ἐξοργίζοι. εὐθὺς μὲν οὖν 3
χρὴ ἐν τῇ ἀναβάσει ἐπιμελεῖσθαι, ὡς ἂν ἥκιστ᾽ ἀναβαί-
νων λυποῖ· ἐπειδὰν δὲ ἀναβῇ, ἠρεμήσαντα πλείω χρόνον
ἢ τὸν ἐπιτυχόντα οὕτω προκινεῖν αὐτὸν ὡς πρᾳοτάτοις
σημείοις. ἔπειτα δ᾽ ἐκ τοῦ βραδυτάτου ἀρχόμενον οὕτως
αὖ εἰς τὸ θᾶττον προάγειν, ὡς ἂν μάλιστα λανθάνοι
αὐτὸν ὁ ἵππος εἰς τὸ ταχὺ ἀφικνούμενος. ὅ,τι δ᾽ ἂν 4
ἐξαίφνης σημήνῃ, θυμοειδῆ ἵππον ὥσπερ ἄνθρωπον τα-
ράττει τὰ ἐξαπίναια καὶ ὁράματα καὶ ἀκούσματα καὶ
παθήματα. εἰδέναι δὲ χρὴ ὅτι καὶ ἐν ἵππῳ τὰ ἐξαπί-
ναια τάραχον ἐξεργάζεται. ἢν δὲ καὶ εἰς τὸ θᾶττον 5

1 προσδοκώη A: προσδοκοίη cett. ‖ 2 πράξοι A: πράξει cett.: πράξειε Zeune: παρέξοι Weiske ‖ 4 μὲν — ἥκιστα om. A | καὶ πῶλον καὶ ὄνον B ‖ 5 διαφθείροι Dind.: -ραι DF: -φθεῖραι a | ἵππον F: ἵππον εἰ a ‖ 6 ἀποδεικνύοι, εἰ δέοι, Bornemann: ἀποδεικνύει δέοι A: ἀποδεικνύειν δέοι cett. ‖ 8 καιρίου A: καιροῦ cett. ‖ 9 μὲν AB: om. cett. ‖ 10 ὥσπερ A ‖ 11 καὶ om. A | post τις verba quaedam excidisse putat Cour.: ὁ delevit Dind. ‖ 12 χαλεπὸν om. A | οὐδὲν D ‖ 13 εὐθὺς A: εὐθὺ cett. ‖ 14 ἂν om. A ‖ 15 λυποῖ corr. in λυπῇ F ‖ 15—16 ἐπεὶ οὕτω (om. δὰν—ἐπιτυχόντα) A ‖ 17 βραδυτάτου Brodaeus: βραχυτάτου libri ‖ 20 de structura cf. VIII 6 ‖ 22—24 verba εἰδέναι — ἐξεργάζεται uncis incl. Cobet: τὰ ἐξαπίναια tantum del. Herwerden. ‖ 22 δὲ om. A: δὴ Cour.: οὖν Leuncl. | καὶ ἐν Tommasini: καὶ A: ἐν cett.: καὶ ἐν ⟨σταθμῷ τῷ⟩ Diels: ἐν ⟨παντὶ⟩ Weiske.

ὁρμώμενον τοῦ καιροῦ ὑπολαμβάνειν βούλῃ τὸν θυμοειδῆ,
οὐ δεῖ ἐξαπιναίως σπᾶν, ἀλλ' ἠρεμαίως προσάγεσθαι τῷ
6 χαλινῷ, πραΰνοντα, οὐ βιαζόμενον ἠρεμεῖν. καὶ αἵ τε
μακραὶ ἐλάσεις μᾶλλον ἢ αἱ πυκναὶ ἀποστροφαὶ πραΰ-
νουσι τοὺς ἵππους καὶ αἱ ἡσυχαῖαι μὲν πολὺν δὲ χρόνον
* * * καθέψουσι καὶ πραΰνουσι καὶ οὐκ ἀνεγείρουσι τὸν
7 θυμοειδῆ. εἰ δέ τις οἴεται, ἢν ταχὺ καὶ πολλὰ ἐλαύνη-
ται, ἀπειπεῖν ποιήσας τὸν ἵππον πραϋνεῖν, τἀναντία
γιγνώσκει τοῦ γιγνομένου. ἐν γὰρ τοῖς τοιούτοις ὁ θυ-
μοειδὴς καὶ ἄγειν βίᾳ μάλιστα ἐπιχειρεῖ καὶ σὺν τῇ
ὀργῇ ὥσπερ ἄνθρωπος ὀργίλος πολλάκις καὶ ἑαυτὸν καὶ
8 τὸν ἀναβάτην πολλὰ ἀνήκεστα ἐποίησεν. ἐπιλαμβάνειν
δὲ χρὴ ἵππον θυμοειδῆ καὶ τοῦ εἰς τὸ τάχιστον ὁρμᾶν,
τοῦ δὲ δὴ παραβάλλειν ἵππῳ καὶ παντάπασιν ἀπέχε-
σθαι· σχεδὸν γὰρ οἱ θυμοειδέστατοι καὶ φιλονικότατοι
9 τῶν ἵππων γίγνονται. καὶ χαλινοὶ δὲ οἱ λεῖοι ἐπιτη-
δειότεροι τῶν τραχέων. ἐὰν δὲ καὶ τραχὺς ἐμβληθῇ, τῇ
χαλαρότητι λείῳ δεῖ αὐτὸν ἀφομοιοῦν. ἀγαθὸν δὲ ἐθίζειν
αὐτὸν καὶ τὸ ἠρεμεῖν, μάλιστα ἐπὶ θυμοειδοῦς ἵππου,
καὶ τὸ ὡς ἥκιστα ἄλλῳ τινὶ ἅπτεσθαι ἢ οἷς τοῦ καθῆ-
10 σθαι ἀσφαλῶς ἕνεκα ἁπτόμεθα. εἰδέναι δὲ χρὴ ὅτι
δίδαγμά τι ἐστι καὶ τὸ ποππυσμῷ μὲν πραΰνεσθαι,

21 Poll. I 209 καὶ κλωγμῷ μὲν ἐξεγείρειν τὸν ἵππον ἐρεῖς καὶ ῥοίζῳ (ταῦτα δὲ καὶ ὁρμητήρια σημεῖα ὀνομάζεται), ποππυσμῷ δὲ παριστάναι καὶ καθιστάναι. Hesych. κλωγμὸς ὁ διὰ τῆς γλώττης περὶ τὸν οὐρανίσκον ψόφος, ὃν λάκησίν τινές φασιν, οἷον οἱ ὀνηλάται ποιοῦσι κυρίως.

1 τοῦ καιροῦ Leuncl.: καὶ τοῦ ῥοῦ (vel ῥοῦ) libri | βούλῃ F: -ει a ‖ 3 τε del. Dind.: locus corruptus. ‖ 5 δὲ A: om. cett.: πολύχρονοι δὲ Madvig | χρόνον ⟨γιγνόμεναι⟩ vel ⟨ἐκτεινόμεναι⟩ Weiske ‖ 6 καθέψουσι AB: καθεψοῦσι cett.: καταψῶσι Steph.: καθέξουσι Cour. ‖ 8 πραϋνεῖν Steph.: πραΰνειν libri ‖ 12 ὑπολαμβάνειν Cour. ‖ 13 τοῦ F: τότε A: τοῦτο BMG: τοῦτον D: ⟨διὰ⟩ τοῦτο Cour. | τάχιστον A: τάχιστα cett. ‖ 15 θυμ. καὶ φιλ. AB: φιλ. καὶ θυμ. cett. (καὶ φιλ. οἱ θυμ. Weiske) ‖ 18 λείῳ δεῖ Leuncl.: λειώδει libri ‖ 19 αὐτὸν libri ‖ 20 τῷ D ‖ 22 τι AB: om. cett. (ras. inter -γμα et ἐσ. F) | τὸ ABD: τὸ [ῶ] m. ead. F: τῷ cett. (τὸ corr. in τῷ G).

κλωσμῷ δὲ ἐγείρεσθαι. καὶ εἴ τις ἐξ ἀρχῆς ἐπὶ μὲν
κλωσμῷ τὰ πραέα, ἐπὶ δὲ ποππυσμῷ τὰ χαλεπὰ προσ-
φέροι, μάθοι ἂν ὁ ἵππος ποππυσμῷ μὲν ἐγείρεσθαι,
κλωσμῷ δὲ πραΰνεσθαι. οὕτως οὖν δεῖ καὶ παρὰ κραυ- 11
γὴν καὶ παρὰ σάλπιγγα μήτ' αὐτὸν φαίνεσθαι τεθορυ-
βημένον τῷ ἵππῳ μήτε μὴν ἐκείνῳ θορυβῶδες μηδὲν
προσφέρειν, ἀλλ' εἰς τὸ δυνατὸν καὶ ἀναπαύειν ἐν τῷ
τοιούτῳ καὶ ἄριστα καὶ δεῖπνα, εἰ ἐγχωροίη, προσφέρειν.
κάλλιστον δὲ συμβούλευμα τὸ ἄγαν θυμοειδῆ ἵππον μὴ 12
κτᾶσθαι εἰς πόλεμον. βλακί γε μὴν ἵππῳ ἀρκεῖν μοι
δοκεῖ γράψαι πάντα τἀναντία ποιεῖν ὅσα τῷ θυμοειδεῖ
χρῆσθαι συμβουλεύομεν.

## X.

Ἢν δέ τις ποτε βουληθῇ χρῆσθαι τῷ χρησίμῳ εἰς 1
πόλεμον ἵππῳ ὡς μεγαλοπρεπεστέρῳ τε καὶ περιβλεπτο-
τέρῳ ἱππάζεσθαι, τοῦ μὲν ἕλκειν τε τὸ στόμα τῷ χα-
λινῷ καὶ μυωπίζειν τε καὶ μαστιγοῦν τὸν ἵππον, ἃ οἱ
πολλοὶ ποιοῦντες λαμπρύνειν οἴονται, ἀπέχεσθαι δεῖ·
πάντα γὰρ τἀναντία οὗτοί γε ποιοῦσιν ὧν βούλονται. τά 2
τε γὰρ στόματα ἕλκοντες ἄνω ἀντὶ τοῦ προορᾶν ἐκτυ-
φλοῦσι τοὺς ἵππους, καὶ μυωπίζοντες καὶ παίοντες ἐκ-
πλήττουσιν, ὥστε ταράχθαι καὶ κινδυνεύειν. ταῦτα
δ' ἐστὶν ἵππων ἔργα τῶν μάλιστα ἀχθομένων ἱππασίᾳ
καὶ αἰσχρὰ καὶ οὐ καλὰ ποιούντων. ἐὰν δέ τις διδάξῃ 3
τὸν ἵππον ἐν χαλαρῷ μὲν τῷ χαλινῷ ἱππεύειν, ἄνω δὲ
τὸν αὐχένα διαίρειν, ἀπὸ δὲ τῆς κεφαλῆς κυρτοῦσθαι,

---

23 Poll. I 211 οὐ δεῖ δὲ αὐτὸν μυωπίζειν, ἀλλὰ μᾶλλον καταψᾶν καὶ ἐγκελεύεσθαι καὶ διδάσκειν κυρτοῦσθαι τὴν κεφαλήν, ὡς καὶ αὐτὸς σχηματοποιεῖται κατὰ τὸν πρὸς τὰς θηλείας καλλωπισμόν.

1 κλωγμῷ Castalio e Poll. (ut infra 2 et 4) ‖ 5 φαίνεσθαι ABMG: προσιέναι FD: φαίνεσθαι προσιέναι Steph. ‖ 8 ἐγχωροίην A: συγχωροίη cett. ‖ 9 θυμοειδεῖ ἵππῳ μὴ χρῆσθαι (κτα supra) D ‖ 10 πόλεμον AB: πολέμους cett. ‖ 11 ⟨ἢ⟩ ὅσα Cour. ‖ 14 ὡς A: om. cett. | τε del. Schn. ‖ 19 γε MG | στόματα Leuncl. (τό τε … στόμα Schn.): σχήματα libri ‖ 21 ὡς AB | κινδυνεύειν: ἰδίειν Madvig.

οὕτως ἂν ἀπεργάζοιτο ποιεῖν τὸν ἵππον οἷοισπερ καὶ αὐτὸς
4 ἥδεταί τε καὶ ἀγάλλεται. τεκμήριον δὲ ὅτι τούτοις ἥδεται· ὅταν
γὰρ αὐτὸς σχηματοποιεῖσθαι θέλῃ παρ᾽ ἵππους, μάλιστα δὲ
ὅταν παρὰ θηλείας, τότε αἴρει τε τὸν αὐχένα ἀνωτάτω καὶ
κυρτοῖ μάλιστα τὴν κεφαλὴν γοργούμενος, καὶ τὰ μὲν σκέλη
5 ὑγρὰ μετεωρίζει, τὴν δὲ οὐρὰν ἄνω ἀνατείνει. ὅταν οὖν τις αὐ-
τὸν εἰς ταῦτα προάγῃ ἅπερ αὐτὸς σχηματοποιεῖται, ὅταν
μάλιστα καλλωπίζηται, οὕτως ἡδόμενόν τε τῇ ἱππασίᾳ καὶ
μεγαλοπρεπῆ καὶ γοργὸν καὶ περίβλεπτον ἀποφαίνει τὸν
ἵππον. ὡς οὖν ἡγούμεθα ταῦτ᾽ ἂν ἀπεργασθῆναι, νῦν
6 αὖ πειρασόμεθα διηγεῖσθαι. πρῶτον μὲν τοίνυν χρὴ οὐ
μεῖον δυοῖν χαλινοῖν κεκτῆσθαι. τούτων δὲ ἔστω ὁ μὲν
λεῖος, τοὺς τροχοὺς εὐμεγέθεις ἔχων, ὁ δ᾽ ἕτερος τοὺς
μὲν τροχοὺς καὶ βαρεῖς καὶ ταπεινούς, τοὺς δ᾽ ἐχίνους
ὀξεῖς, ἵνα ὁπόταν μὲν τοῦτον λάβῃ, ἀσχάλλων τῇ τραχύ-
τητι διὰ τοῦτο ἀφίῃ, ὅταν δὲ τὸν λεῖον μεταλάβῃ, τῇ
μὲν λειότητι αὐτοῦ ἡσθῇ, ἃ δ᾽ ἂν ὑπὸ τοῦ τραχέος παι-
7 δευθῇ, ταὐτὰ δὲ καὶ ἐν τῷ λείῳ ποιῇ. ἢν δ᾽ αὖ κατα-
φρονήσας τῆς λειότητος θαμινὰ ἀπερείδηται ἐν αὐτῷ,
τούτου ἕνεκα τοὺς τροχοὺς μεγάλους τῷ λείῳ προστί-
θεμεν, ἵνα χάσκειν ἀναγκαζόμενος ὑπ᾽ αὐτῶν ἀφίῃ τὸ
στόμιον. οἷόν τε δὲ καὶ τὸν τραχὺν παντοδαπὸν ποιεῖν
8 καὶ κατειλοῦντα καὶ κατατείνοντα. ὁποῖοι δ᾽ ἂν ὦσι
χαλινοί, πάντες ὑγροὶ ἔστωσαν. τὸν μὲν γὰρ σκληρόν,

12 Poll. I 184 τοῦ δὲ χαλινοῦ τὰ σιδήρια ὑποστόμια, καὶ τῶν ὑποστομίων τὰ μὲν κοῖλα ἐχῖνοι, τὰ δὲ περιφερῆ καὶ πριονωτα τροχοί, τὰ δὲ στερεὰ καὶ προμήκη καὶ ἀλλήλοις ἀντεμπλεκομένα ἁλύσεως εἴδει δακτύλιοι καὶ δάκτυλοι. 13 Poll. I 207 εἰσὶ δὲ σκληροὶ χαλινοὶ οἱ ἔχοντες τροχοὺς ταπεινους καὶ ἐχίνους ὀξεῖς. 22 Poll. I 207 ἔστι δὲ καὶ τούτους (sc. τοὺς σκληροὺς χαλινούς) ἐμπραΰνειν κατειλοῦντα καὶ κατακηροῦντα.

1 οὗτος AB || 3 αὐτὸς A: αὖθις cett. | σχηματοποιεῖσθαι A: om. cett. || 4 ἄνω AB. || 8 μάλιστα om. A | οὗτος Leuncl. || 9 ἀποφανεῖ Cobet || 10 οὖν om. A || 14 δ᾽ ἐχίνους B: δ᾽ ἐχ. A: δὲ χιτίνους DF: δ᾽ ἐχιτίνους MG || 17 ἃ δ᾽ ἂν A: τὰ δὲ cett. || 18 ταὐτὰ B: ταῦτα cett. | δὲ AB: om. cett. | ποιῇ A: ποιεῖν D: ποίει cett. || 19 θαμινὰ D: θαμεινά cett. | ἐπερείδηται Leuncl. || 23 κατειλοῦν τὰ AB: καταλειοῦντα Sauppe | καὶ alterum om. AB | ὁποῖοι Weiske: ὁπόσοι libri.

ὅπῃ ἂν ὁ ἵππος λάβῃ, ὅλον ἔχει πρὸς ταῖς γνάθοις·
ὥσπερ καὶ ὀβελίσκον, ὁπόθεν ἄν τις λάβῃ, ὅλον αἴρει.
ὁ δὲ ἕτερος ὥσπερ ἡ ἅλυσις ποιεῖ· ὃ γὰρ ἂν ἔχῃ τις 9
αὐτοῦ, τοῦτο μόνον ἄκαμπτον μένει, τὸ δὲ ἄλλο ἀπήρ-
τηται. τὸ δὲ φεῦγον ἐν τῷ στόματι ἀεὶ θηρεύων ἀφίη-
σιν ἀπὸ τῶν γνάθων τὸ στόμιον· τούτου ἕνεκα καὶ οἱ
κατὰ μέσον ἐκ τῶν ἀξόνων δακτύλιοι κρεμάννυνται, ὅπως
τούτους διώκων τῇ τε γλώττῃ καὶ τοῖς ὀδοῦσιν ἀμελῇ
τοῦ ἀναλαμβάνειν πρὸς τὰς γνάθους τὸν χαλινόν. εἰ δέ 10
τις ἀγνοεῖ, τί τὸ ὑγρὸν τοῦ χαλινοῦ καὶ τί τὸ σκληρόν,
γράψομεν καὶ τοῦτο. ὑγρὸν μὲν γάρ ἐστιν ὅταν οἱ ἄξο-
νες εὐρείας καὶ λείας ἔχωσι τὰς συμβολάς, ὥστε ῥᾳδίως
κάμπτεσθαι, καὶ πάντα δὲ ὁπόσα περιτίθεται περὶ τοὺς
ἄξονας ἢν εὐρύστομα ᾖ καὶ μὴ σύμπυκνα, ὑγρότερά ἐστιν.
ἢν δὲ χαλεπῶς ἕκαστα τοῦ χαλινοῦ διατρέχῃ καὶ συν- 11
θέῃ, τοῦτ᾽ ἐστὶ τὸ σκληρὸν εἶναι. ὁποῖος δ᾽ ἄν τις ᾖ,
τούτῳ τάδε γε πάντα ταὐτὰ ποιητέον, ἤνπερ γε βούλη-
ται ἀποδείξασθαι τὸν ἵππον οἷονπερ εἴρηται. ἀνακρου- 12
στέον μὲν τὸ στόμα τοῦ ἵππου οὔτε ἄγαν χαλεπῶς ὥστ᾽
ἐκνεύειν, οὔτε ἄγαν ἡσύχως ὡς μὴ αἰσθάνεσθαι. ἐπει-

---

1 Poll. I 207 τοῖς θυμοειδέσιν οὐκ ἐμβλητέον σκληροὺς χαλινούς· ἀναλαμβάνουσι γὰρ αὐτοὺς εἰς τὸ στόμα ὥσπερ ὀβελίσκους, εὐπαγεῖς ὄντας· ἀλλὰ ὑγρούς, ἵνα, οὗ ἂν ὁ ἵππος προσάπτηται, τὸ λοιπὸν κάμπτηται ωσπερ ἅλυσις. 6 Poll I 148 τὸ δὲ περὶ τὸ γένειον διειρόμενον ψάλιον, τὸ δ᾽ εἰς τὸ στόμα ἐμβαλλόμενον χαλινός, οὗ μὲν μέσον ἀξόνιον, τὰ δὲ περὶ αὐτὸ δακτύλιοι ἐχῖνοι τρίβολοι, οὓς μασᾶται ὁ ἵππος. 10 Poll. I 208 οὗτοι (sc. οἱ ὑγροί) δὲ εὐρείας καὶ λείας ἔχουσι τας συμβολάς, ὡς ῥᾳδίως κάμπτεσθαι· καὶ πάντα, ὅσα περιτίθεται περὶ τοὺς ἀξόνας, εὐρύστομα καὶ οὐ σύμπυκνα. 18 Poll. I 211 ἐξέγειρε δὲ αὐτὸν τοῖς ὁρμητηρίρις σημείοις, καὶ ἀνάκρουε τῷ χαλινῷ, καὶ ἐνδίδου αὐτῷ τὸ στόμιον, ἵνα χαίρῃ τῇ χαλαρότητι καὶ φέρηται κυδρῷ τῷ σχήματι.

3 ὥσπερ εἰ Cour. ‖ 12 ὡς τε A: ὥσπερ cett. ‖ 14 εὐρύτερα Conr. Gesner ‖ 15 συνθέῃ Weiske: συνθῇ libri ‖ 16 τὸ A: om. cett. ‖ 17 πάντα ταὐτὰ Weiske: πάντα ταῦτα BMG: ταῦτα πάντα DF: πάτα (om. ταῦτα) A ‖ 18 ἀποδεῖξαι Schn.

*δὰν δὲ ἀνακρουόμενος αἴρῃ τὸν αὐχένα, δοτέον εὐθὺς*
*τὸν χαλινόν. καὶ τἆλλα δὲ δεῖ, ὥσπερ οὐ πανόμεθα*
*λέγοντες, ἐν ᾧ ἂν καλῶς ὑπηρετῇ, χαρίζεσθαι τῷ ἵππῳ.*
13 *καὶ ὅταν δ' αἴσθηται ἡδόμενον τὸν ἵππον τῇ τε ὑψη-*
*λαυχενίᾳ καὶ τῇ χαλαρότητι, ἐν τούτῳ οὐδὲν δεῖ χαλεπὸν*
*προσφέρειν ὡς πονεῖν ἀναγκάζοντα, ἀλλὰ θωπεύειν ὡς*
*ἱππάσασθαι βουλόμενον· οὕτω γὰρ μάλιστα θαρρῶν*
14 *πρόεισιν εἰς τὴν ταχεῖαν ἱππασίαν. ὡς δὲ καὶ τῷ ταχὺ*
*θεῖν ἵππος ἥδεται τεκμήριον· ἐκφυγὼν γὰρ οὐδεὶς βάδην*
*πορεύεται, ἀλλὰ θεῖ. τούτῳ γὰρ πέφυκεν ἥδεσθαι, ἢν*
*μή τις πλείω τοῦ καιροῦ θεῖν ἀναγκάζῃ· ὑπερβάλλον δὲ*
*τὸν καιρὸν οὐδὲν τῶν πάντων ἡδὺ οὔτε ἵππῳ οὔτε ἀν-*
15 *θρώπῳ. ὅταν γε μὴν εἰς τὸ ἱππάζεσθαι μετὰ τοῦ κυ-*
*δροῦ ἀφιγμένος ᾖ, εἰθισμένος μὲν δήπου ἡμῖν ἦν ἐν τῇ*
*πρώτῃ ἱππασίᾳ ἐκ τῶν στροφῶν εἰς τὸ θᾶττον ὁρμᾶ-*
*σθαι. ἢν δέ τις τοῦτο [μὲν] μεμαθηκότος αὐτοῦ ἅμα*
*ἀντιλαμβάνηταί τε τῷ χαλινῷ καὶ σημήνῃ τῶν ὁρμητηρίων*
*τι, οὕτως ὑπὸ μὲν τοῦ χαλινοῦ πιεσθείς, ὑπὸ δὲ τοῦ*
*ὁρμᾶν σημανθῆναι ἐγείρεται, καὶ προβάλλεται μὲν τὰ*
*στέρνα, αἴρει δὲ ἄνω τὰ σκέλη ὀργιζόμενος, οὐ μέντοι*
*ὑγρά γε· οὐ γὰρ μᾶλλον ὅταν λυπῶνται ὑγροῖς τοῖς σκέ-*
16 *λεσιν ἵπποι χρῶνται. ἢν δέ τις οὕτως ἀνεζωπυρημένῳ*
*αὐτῷ δῷ τὸν χαλινόν, ἐνταῦθ' ὑφ' ἡδονῆς τῷ διὰ τὴν*
*χαλαρότητα τοῦ στομίου λελύσθαι νομίζειν, κυδρῷ μὲν*
*τῷ σχήματι, ὑγροῖν δὲ τοῖν σκελοῖν γαυριώμενος φέρεται,*
*παντάπασιν ἐκμιμούμενος τὸν πρὸς ἵππους καλλωπι-*
17 *σμόν. καὶ οἱ θεώμενοι τὸν ἵππον τοιοῦτον ἀποκαλοῦ-*

4 *ὑψαυχενίᾳ* Dind. ‖ 7 *ἱππάσασθαι* A: *παύσασθαι* cett. ‖ 10 *τοῦτο* A ‖ 12 *οὐδὲν* A: *οὐδὲ* cett. | *τῶν* A: *τὸ* cett. ‖ *ἡδὺ* L, voluit Castalio: *ἥδιον* cett. ‖ 14 *μὲν* om. DF ‖ 16 *μὲν* uncis incl. Dind., om. N ‖ 18 *οὕτως* A: *τούτῳ* cett.: *τούτων* Hermann | *πιεσθείς* (*ει* in ras.) A: *πεισθείς* cett. Verbum aliquod post *πιεσθείς* excidisse censet Richards: *πιέζεται* vel *πιεσθεὶς* ⟨*λυπεῖται*⟩ Leuncl. ‖ 19 *ἐγερθείς* Weiske: ⟨*ὁρμῶν*⟩ *ἐγείρεται* Schn. | *καὶ* delendum dixit Cour. qui cum Weiskio *ἐγερθείς* voluit. ‖ 20 *ἄνω* AB: *ἀνωτέρω* cett. ‖ 21 *μάλα* Cour. | *ὑγροῖς* Brodaeus: *ὑγρῶς* libri ‖ 24 *νομίζει* Brodaeus: *νομίζων* Schn. ‖ 27 *ἐπικαλοῦσιν* Herwerden.

σιν ἐλευθέριόν τε καὶ ἐθελουργὸν καὶ ἱππαστὴν καὶ θυμοειδῆ καὶ σοβαρὸν καὶ ἅμα ἡδύν τε καὶ γοργὸν ἰδεῖν. καὶ ταῦτα μὲν δή, ἤν τούτων τις ἐπιθυμήσῃ, μέχρι τούτων ἡμῖν γεγράφθω.

## XI.

Ἢν δέ τις ἄρα βουληθῇ καὶ πομπικῷ καὶ μετεώρῳ 1
καὶ λαμπρῷ ἵππῳ χρήσασθαι, οὐ μάλα μὲν τὰ τοιαῦτα
ἐκ παντὸς ἵππου γίγνεται, ἀλλὰ δεῖ ὑπάρξαι αὐτῷ καὶ
τὴν ψυχὴν μεγαλόφρονα καὶ τὸ σῶμα εὔρωστον. οὐ μέντοι 2
ὅ γε οἴονταί τινες τὸν τὰ σκέλη ὑγρὰ ἔχοντα καὶ τὸ σῶμα
αἴρειν δυνήσεσθαι, οὕτως ἔχει· ἀλλὰ μᾶλλον ὃς ἂν
τὴν ὀσφῦν ὑγράν τε καὶ βραχεῖαν καὶ ἰσχυρὰν ἔχῃ (καὶ οὐ
τὴν κατ' οὐρὰν λέγομεν, ἀλλ' ᾗ πέφυκε μεταξὺ τῶν τε
πλευρῶν καὶ τῶν ἰσχίων κατὰ τὸν κενεῶνα), οὗτος δυνήσεται πόρρω ὑποτιθέναι τὰ ὀπίσθια σκέλη ὑπὸ τὰ
ἐμπρόσθια. ἢν οὖν τις ὑποτιθέντος αὐτοῦ ἀνακρούῃ τῷ 3
χαλινῷ, ὀκλάζει μὲν τὰ ὀπίσθια ἐν τοῖς ἀστραγάλοις,
αἴρει δὲ τὸ πρόσθεν σῶμα, ὥστε τοῖς ἐξ ἐναντίας φαίνεσθαι τὴν γαστέρα καὶ τὰ αἰδοῖα. δεῖ δὲ καὶ ὅταν ταῦτα
ποιῇ διδόναι αὐτῷ τὸν χαλινόν, ὅπως τὰ κάλλιστα ἵππου
ἑκών τε ποιῇ καὶ δοκῇ τοῖς ὁρῶσιν. εἰσὶ μέντοι οἳ καὶ 4
ταῦτα διδάσκουσιν οἱ μὲν ῥάβδῳ ὑπὸ τοὺς ἀστραγάλους
κρούοντες, οἱ δὲ καὶ βακτηρίᾳ παρατρέχοντά τινα κελεύοντες ὑπὸ τὰς μηριαίας παίειν. ἡμεῖς γε μέντοι τὸ 5
κράτιστον τῶν διδασκαλίων νομίζομεν, ὥσπερ ἀεὶ λέγομεν,

---

1 Poll. I 194 ἐλευθέριος, ἐθελουργός, ἱππαστής ... σοβαρός. 7 Poll. I 211 ὁ πομπικὸς ἵππος ἐχέτω ψυχὴν μεγαλόφρονα, σῶμα εὔρωστον, ὀσφῦν ὑγρὰν καὶ βραχεῖαν καὶ ἰσχυράν, οὐ τὴν κατ' οὐρὰν ἀλλὰ τὴν μεταξὺ τῶν πλευρῶν καὶ τῶν ἰσχίων, ὡς δύνασθαι ὑποτιθέναι τὰ ὀπίσθια σκέλη ὑπὸ τὰ ἐμπρόσθια.

2 γοργὸν A: ἅμα γοργὸν cett. ‖ 8 εὔρωστον om. A ‖ 10 οὕτως A: οὐχ οὕτως cett. ‖ 11 καὶ prius om. A ‖ 12 τε om. AB ‖ 14 ὑπὲρ A ‖ 15 αὐτοῦ Brodaeus: αὐτῷ libri: αὐτὸν Cour. (ὑποτιθέντα αὐτὸν Welsiana ed.) 16 ὀκλάζει ABN: ὀκλάζειν cett. ‖ 17 αἴρει AB: αἴρειν cett. | σῶμα om. A ‖ 20 ἑκόντα ποιῆσαι Cour. ‖ 24 διδασκαλίων Steph.: διδασκαλιῶν libri.

ἢν ἐν παντὶ παρέπηται τὸ ἐν ᾧ ἂν ποιήσῃ τῷ ἀναβάτῃ
6 κατὰ γνώμην τυγχάνειν ῥᾳστώνης παρ' αὐτοῦ. ἃ μὲν γὰρ
ὁ ἵππος ἀναγκαζόμενος ποιεῖ, ὥσπερ καὶ Σίμων λέγει,
οὔτ' ἐπίσταται οὔτε καλά ἐστιν, οὐδὲν μᾶλλον ἢ εἴ τις
ὀρχηστὴν μαστιγῷν καὶ κεντρίζων *** · πολὺ γὰρ ἂν πλείω
ἀσχημονοίη ἢ καλὰ ποιοίη ὁ τοιαῦτα πάσχων καὶ ἵππος
καὶ ἄνθρωπος. ἀλλὰ δεῖ ἀπὸ σημείων ἑκόντα πάντα τὰ
7 κάλλιστα καὶ λαμπρότατα ἐπιδείκνυσθαι. ἢν δὲ καὶ
ὅταν μὲν ἱππάζηται μέχρι πολλοῦ ἱδρῶτος ἐλαύνηται,
ὅταν δὲ καλῶς μετεωρίζῃ ἑαυτόν, ταχύ τε καταβαίνηται
καὶ ἀποχαλινῶται, εὖ χρὴ εἰδέναι ὅτι ἑκὼν εἶσιν εἰς τὸ
8 μετεωρίζειν ἑαυτόν. ἐπὶ τῷ τοιούτῳ εἴδει ἱππαζομένων
ἵππων καὶ θεοὶ καὶ ἥρωες γράφονται, καὶ ἄνδρες οἱ
9 καλῶς χρώμενοι αὐτοῖς μεγαλοπρεπεῖς φαίνονται. οὕτω
δὲ καὶ ἔστιν ὁ μετεωρίζων ἑαυτὸν ἵππος σφόδρα [ἢ καλὸν
ἢ δεινὸν ἢ] ἀγαστὸν [ἢ θαυμαστόν], ὡς πάντων τῶν
ὁρώντων καὶ νέων καὶ γεραιτέρων τὰ ὄμματα κατέχειν.
οὐδεὶς γοῦν οὔτε ἀπολείπει αὐτὸν οὔτε ἀπαγορεύει θεώ-
10 μενος, ἔστ' ἂν περ ἐπιδεικνύηται τὴν λαμπρότητα. ἢν
γε μήν ποτε συμβῇ τινι τῶν τοιοῦτον ἵππον κεκτημένων
ἢ φυλαρχῆσαι ἢ ἱππαρχῆσαι, οὐ δεῖ αὐτὸν τοῦτο σπου-
δάζειν, ὅπως αὐτὸς μόνος λαμπρὸς ἔσται, ἀλλὰ πολὺ
μᾶλλον, ὅπως ὅλον τὸ ἑπόμενον ἀξιοθέατον φανεῖται.
11 ἢν μὲν οὖν ἡγῆται, ὡς μάλιστα ἐπαινοῦσι τοὺς τοιούτους
ἵππους, ὃς ἂν ἀνωτάτω αἰρόμενος καὶ πυκνότατα τὸ
σῶμα βραχύτατον προβαίνῃ, δῆλον ὅτι καὶ βάδην ἕποιντ'
ἂν οἱ ἄλλοι ἵπποι αὐτῷ. ἐκ δὲ ταύτης τῆς ὄψεως τί
12 ἂν καὶ λαμπρὸν γένοιτ' ἄν; ἢν δὲ ἐξεγείρας τὸν ἵππον
ἡγῇ μήτε τῷ ἄγαν τάχει μήτε τῷ ἄγαν βράδει, ὡς δ'

2 γνώμης MG ‖ 5 μαστιγῴη (-οίη Cobet) καὶ κεντρίζοι Steph. ‖ 7 ἑκόντα Conr. Gesner: ἔχοντα libri | τὰ om. AB ‖ 12 τῷ τοιούτῳ εἴδει A: τῶν τοιούτων ἤδη δὲ cett.; v. Praef. ‖ 15 ἢ καλὸν ἢ δεινὸν ἢ AB: ἢ καλὸν ἢ θαυμαστὸν ἢ cett., quae delevit Cobet. ‖ 16 ἀγαστὸν Steph.: ἀγαθὸν libri | ἢ θαυμαστόν hic addunt AB ‖ 17 κατέχειν ADK: -ει cett. ‖ 21 αὐτὸν om. A ‖ 24 ὡς — ἵππους uncis inclusit Schn. ‖ 26 καὶ om. A ‖ 28 ἂν prius om. A | ἢν om. A ‖ 29 ἡγῇ Weiske: ἡγῆται libri.

εὐθυμότατοι ἵπποι καὶ γοργότατοι καὶ πονεῖν εὐσχη-
μονέστατοι γίγνονται, ἐὰν ἡγῇ αὐτοῖς οὕτως, ἀθρόος μὲν
⟨ἂν⟩ ὁ κτύπος, ἀθρόον δὲ τὸ φρύαγμα καὶ τὸ φύσημα
τῶν ἵππων συμπαρέποιτο, ὥστε οὐ μόνον αὐτὸς ἀλλὰ
καὶ πάντες οἱ συμπαρεπόμενοι ἀξιοθέατοι ἂν φαίνοιντο.
ἤν γε μήν τις καλῶς μὲν ἱππωνήσῃ, τρέφῃ δὲ ὡς πό- 13
νους δύνασθαι ὑποφέρειν, ὀρθῶς δὲ χρῆται καὶ ἐν τοῖς
πρὸς πόλεμον μελετήμασι καὶ ἐν ταῖς πρὸς ἐπίδειξιν
ἱππασίαις καὶ ἐν τοῖς πολεμικοῖς ἀγωνίσμασι, τί ἔτι
ἐμποδὼν τούτῳ μὴ οὐχὶ πλειονός τε ἀξίους ἵππους ποιεῖν
ἢ οἵους ἂν παραλαμβάνῃ, καὶ εὐδοκίμους μὲν ἵππους
ἔχειν, εὐδοκιμεῖν δὲ αὐτὸν ἐν τῇ ἱππικῇ, ἤν μή τι δαι-
μόνιον κωλύῃ;

## XII.

Γράψαι δὲ βουλόμεθα καὶ ὡς δεῖ ὡπλίσθαι τὸν 1
μέλλοντα ἐφ' ἵππου κινδυνεύειν. πρῶτον μὲν τοίνυν
φαμὲν χρῆναι πρὸς τὸ σῶμα τὸν θώρακα πεποιῆσθαι,
τὸν μὲν γὰρ καλῶς ἁρμόζοντα ἐκεῖνον φέρει τὸ σῶμα,
τὸν δὲ ἄγαν χαλαρὸν οἱ ὦμοι μόνοι φέρουσιν, ὅ γε μὴν
λίαν στενὸς δεσμὸς οὐχ ὅπλον ἐστίν. ἐπεὶ δὲ καὶ ὁ 2
αὐχήν ἐστι τῶν καιρίων, φαμὲν χρῆναι καὶ τούτῳ ἐξ
αὐτοῦ τοῦ θώρακος ὅμοιον τῷ αὐχένι στέγασμα πεποιῆ-
σθαι. τοῦτο γὰρ ἅμα κόσμον τε παρέξει, καὶ ἢν οἷον
δεῖ εἰργασμένον ᾖ, δέξεται ὅταν βούληται τῷ ἀναβάτῃ
τὸ πρόσωπον μέχρι τῆς ῥινός. κράνος γε μὴν κράτιστον 3

3 Poll. I 216 φρύαγμα ἵππου, χρεμετισμός, φριμαγμός, πνεῦμα φύσημα, κτέ.

1 πονεῖν uncis inclusit Weiske ‖ 2 οὗτος B | ἀθρόως D ‖ 3 ⟨ἂν⟩ Cour. | κτύπος A: τύπος cett. ‖ 4 συμπαρέποιτο AB: συμπαρέσοιτο
οι
cett.: συμπαρέσοιτο ἂν Jacobs ‖ 5 οἱ A: ὅσοι cett. | φαίνωνται B ‖ 6 μήν τις A: μέν τις B: μέντοι τις cett., vario accentu. | μὲν A: om. cett. ‖ 8 πρὸς τὸν πόλεμον D ‖ 11 οἵους A: οὓς cett. | 16 πρὸς το σῶμα τὸν θώρακα AB: τὸν θώρακα πρὸς τὸ σῶμα cett. | 17 γαρ AF: om. a | ἐκεῖνον] ἔοικε πᾶν Diels: ὅλον Castalio | φέρει F: φέρειν a 19 καὶ om. B.

εἶναι νομίζομεν τὸ βοιωτιουργές· τοῦτο γὰρ αὖ στεγάζει
μάλιστα πάντα τὰ ὑπερέχοντα τοῦ θώρακος, ὁρᾶν δὲ οὐ
κωλύει· ὁ δ' αὖ θώραξ οὕτως εἰργάσθω, ὡς μὴ κωλύειν
4 μήτε καθίζειν μήτ' ἐπικύπτειν. τὰ δὲ περὶ τὸ ἦτρον καὶ
τὰ αἰδοῖα καὶ τὰ κύκλῳ αἱ πτέρυγες τοιαῦται καὶ το-
5 σαῦται ἔστωσαν, ὥστε στέγειν τὰ βέλη. ἐπεὶ δὲ καὶ ἡ
ἀριστερὰ χεὶρ ἤν τι πάθῃ, καταλύει τὸν ἱππέα, καὶ ταύτῃ
ἐπαινοῦμεν τὸ εὑρημένον ὅπλον τὴν χεῖρα καλουμένην.
τόν τε γὰρ ὦμον σκεπάζει καὶ τὸν βραχίονα καὶ τὸν
πῆχυν καὶ τὸ ἐχόμενον τῶν ἡνιῶν, καὶ ἐκτείνεται δὲ καὶ
συγκάμπτεται· πρὸς δὲ τούτοις καὶ τὸ διαλεῖπον τοῦ
6 θώρακος ὑπὸ τῇ μασχάλῃ καλύπτει. τήν γε μὴν δεξιὰν
ἐπαίρειν δεῖ, ἤν τε ἀκοντίσαι ἤν τε πατάξαι βου-
ληθῇ. τοῦ μὲν δὴ θώρακος τὸ κωλῦον ταύτῃ ἀφαι-
ρετέον· ἀντὶ δὲ τούτου πτέρυγας ἐν τοῖς γιγγλύμοις
προσθετέον ὅπως, ὅταν μὲν διαίρηται, ὁμοίως ἀναπτύσ-
7 σωνται· ὅταν δὲ καταίρηται, ἐπικλείωνται. τῷ γε μὴν
βραχίονι τὸ ὥσπερ κνημὶς παρατιθέμενον βέλτιον ἡμῖν
δοκεῖ εἶναι ἢ συνδεθὲν ὅπλῳ. τό γε μὴν ψιλούμενον
αἱρομένης τῆς δεξιᾶς στεγαστέον ἐγγὺς τοῦ θώρακος ἢ
μοσχείῳ ἢ χαλκείῳ· εἰ δὲ μή, ἐν τῷ ἐπικαιροτάτῳ ἀφύ-
8 λακτον ἔσται. ἐπεὶ δ' ἤνπερ τι πάσχῃ ὁ ἵππος, ἐν

---

1 Poll. I 149 κράνος Βοιωτιουργές. 8 Poll. I 135 τὰ δὲ περὶ ταῖς χερσὶ προβλήματα ὁμωνύμως τῷ μέρει χεῖρες καλοῦνται. X 142 iterum χεῖρες inter armorum nomina memorat. 15 Poll. I 134 θώραξ, καὶ τὰ μέρη τοῦ θώρακος πτέρυγες.

3 κωλύειν A: κωλύει G: -ῃ a ‖ 4 τὰ A: τὸ cett. ‖ 5 τοσαῦται καὶ τοιαῦται AB ‖ 6 στέγειν AB: ἄγειν cett. | ἡ AB: om. cett. ‖ 14 δὴ A: om. cett. | ταύτην Steph. ‖ 15 πτέρυγας A: πτέρυγες ὦσιν cett.: verbum ὦσιν evanido atramento deletum B ‖ 16 προσθετέον A: προσθεταί evanido atramento correctum in -ετέον B: προσθεταὶ cett. | ὅπως A: om. cett. ‖ 17 καταίρηται Schn.: καθαίρηται libri: καθαιρῆται Steph.: καθιῆται Weiske ‖ 18 περιτιθέμενον Cour. | βέλτιον A: ἀρκεῖν βέλτιον cett. ‖ 21 ἀφύλακτον AD: ἀφυλακτέον cett. ‖ 22 ἐπεὶ δ' ἤνπερ A: ἐπείπερ δὲ ἢν D: ἐπείπερ ἢν cett.

παντὶ κινδύνῳ καὶ ὁ ἀναβάτης γίγνεται, ὁπλίζειν δεῖ καὶ
τὸν ἵππον προμετωπιδίῳ καὶ παραμηριδίοις· ταῦτα γὰρ
ἅμα καὶ τῷ ἀναβάτῃ παραμηρίδια γίγνεται. πάντων δὲ μά-
λιστα τοῦ ἵππου τὸν κενεῶνα δεῖ σκεπάζειν· καιριώτατον
γὰρ ὂν καὶ ἀφανρότατόν ἐστι· δυνατὸν δὲ σὺν * * * τῷ
ἐφιππίῳ καὶ αὐτὸν σκεπάσαι. χρὴ δὲ καὶ τὸ ἔποχον τοιοῦ- 9
τον ἐρράφθαι ὡς ἀσφαλέστερόν τε τὸν ἱππέα καθῆσθαι
καὶ τὴν ἕδραν τοῦ ἵππου μὴ σίνεσθαι. καὶ τὰ μὲν δὴ ἄλλα
οὕτω καὶ ὁ ἵππος καὶ ὁ ἱππεὺς ὡπλισμένοι ἂν εἶεν.
κνῆμαι δὲ καὶ πόδες ὑπερέχοιεν μὲν ἂν εἰκότως τῶν πα- 10
ραμηριδίων, ὁπλισθείη δ' ἂν καὶ ταῦτα, εἰ ἐμβάδες γέ-
νοιντο σκύτους, ἐξ οὗπερ αἱ κρηπῖδες ποιοῦνται· οὕτω
γὰρ ἂν ἅμα ὅπλον τε κνήμαις καὶ ποσὶν ὑποδήματ' ἂν
εἴη. ὡς μὲν δὴ μὴ βλάπτεσθαι θεῶν ἵλεων ὄντων ταῦτα 11
ὅπλα. ὡς δὲ τοὺς ἐναντίους βλάπτειν, μάχαιραν μὲν
μᾶλλον ἢ ξίφος ἐπαινοῦμεν· ἐφ' ὑψηλοῦ γὰρ ὄντι τῷ
ἱππεῖ κοπίδος μᾶλλον ἡ πληγὴ ἢ ξίφους ἀρκέσει. ἀντί 12
γε μὴν δόρατος καμακίνου, ἐπειδὴ καὶ ἀσθενὲς καὶ δύσ-
φορόν ἐστι, τὰ κρανέϊνα δύο παλτὰ μᾶλλον ἐπαινοῦμεν.
καὶ γὰρ ἐξαφεῖναι τὸ ἕτερον δυνατὸν τῷ ἐπισταμένῳ,
καὶ τῷ λειπομένῳ οἷόν τε χρῆσθαι καὶ εἰς τὸ ἀντίον καὶ
εἰς τὰ πλάγια καὶ εἰς τοὔπισθεν· καὶ ἅμα ἰσχυρότερά
τε τοῦ δόρατος καὶ εὐφορώτερά ἐστιν.

Ἀκόντισμά γε μὴν τὸ μακρότατον ἐπαινοῦμεν· καὶ 13

---

6 Poll. I 185 ἔποχα, ἐφίππια, σάγη. X 54 ἐπὶ μονίπποις δέοιτο ἄν τις ἔχειν σάγην, ἔποχον, ἔφιππον. 18 Hesych. κάμακες, δοράτια ἱππικά.

1 κινδύνου Anonym. Diar. Hal. | δὲ δεῖ F ‖ 2 παραμηριδίοις Weiske, coll. Cyr. VII 1, 2, VI 4, 1: παραπλευριδίοις libri ‖ 3 ἀναβάτῃ BD: ἀμβάτῃ cett. ‖ 4 τὸν κενεῶνα τοῦ ἵππου D ‖ 5 lacunam indicavi, verbis ⟨ταῖς πλευραῖς⟩, ut suspicor, explendam. ‖ 6 καὶ prius AB: om. cett. ‖ 7 ὧς A. ‖ 8 ἄλλα A: ἄλλα τοῦ ἵππου cett. ‖ 11 ὁπλισθεὶς B | δ' ἂν A: δὲ cett. | ἐμβάδες A: ἐμβάται cett. ‖ 12 οὗπερ AB: οἷουπερ cett. ‖ 19 κρανέϊνα Leuncl.: κρανάηνα A: κρανaίνα cett. | δύο παλτὰ A: εὖ παλτὰ DF: εὔπαλτα BMG ‖ 20 ἐξαφιέναι Leuncl. | δυνατὸν A: ἀδύνατον cett. ‖ 21 ἐναντίον V ‖ 22 τοὔπισθεν A: τοὔμπροσθεν cett. | ἅμα τὲ B.

γὰρ ἀποστρέψαι καὶ μεταλαβεῖν παλτὸν οὕτω μᾶλλον ὁ
χρόνος ἐγχωρεῖ. γράψομεν δὲ ἐν βραχεῖ καὶ ὡς ἄν τις
κράτιστα ἀκοντίζοι. ἢν γὰρ προβαλλόμενος μὲν τὰ
ἀριστερά, ἐπανάγων δὲ τὰ δεξιά, ἐξανιστάμενος δὲ ἐκ
τῶν μηρῶν, μικρὸν ἐπανακύπτουσαν τὴν λόγχην ἀφῇ,
οὕτω σφοδρότατόν τε καὶ μακρότατον οἴσεται τὸ ἀκόντιον,
εὐστοχώτατον μέντοι, ἐὰν κατὰ τὸν σκοπὸν ἀφιεμένη ἀεὶ
14 ὁρᾷ ἡ λόγχη. καὶ ταῦτα μὲν δὴ ἰδιώτῃ καὶ ὑπομνή-
ματα καὶ μαθήματα καὶ μελετήματα γεγράφθω ἡμῖν. ἃ
δὲ ἱππάρχῳ προσῆκεν εἰδέναι τε καὶ πράσσειν ἐν ἑτέρῳ
λόγῳ δεδήλωται.

---

3 Poll. I 215 εἰ μέντοι οὕτω καθίζεις, καὶ ἀκοντιεῖς ἐπισκοπώτατα σὺν ῥώμῃ, ἐπερείδοντος τοῦ ἵππου τὴν ἄφεσιν τοῦ δόρατος· καὶ γὰρ αὐτὸς συμβάλλεται τῇ φορᾷ, ῥύμῃ συμπροχωρῶν. συστίσας δὲ τὰς ἡνίας, καὶ ἠρέμα πλάγιος γενόμενος, καὶ μηκύνας τὴν χεῖρα τὴν χαλιναγωγοῦσαν, οὕτως ἀκόντιζε.

2—3 δὲ — μὲν om. A ‖ 5 ἐπανακάμπτουσαν A: -κόπτουσαν B ‖ 8 λόγχη explicit A.

# Apparatus critici appendix.

---

γε
**I,** 1 *συμβῆσαι* A ‖ 2 *γενῆσθαι* R, *γενέσθαι* D ‖ 4 *προφέρεσθαι* N ‖ 5 *καὶ* om. N | *τὸν* om. V ‖ 6 *Ἀθήνησι* N | *ἀνέθειχε* GI ‖ 7 *βάθρῳ* corr. ex *βάθρο* A, *βαράθρῳ* P | *αὐτοῦ* V | *ὅσοι* V ‖ 8 *ἐνετύχομεν* Schn., *συνετύχωμεν* N | *τ' αὐτὰ* GI, *ταυτὰ* ME, *ταῦτα* FV ‖ 9
ἴ
*ἴδιον* M, *ἴδιον* KIV | *παραδώσωμεν* GKIN ‖ 10 *ἀξιοπιστότεροι* VRSOQZ, *-ρα* EKIP | ⟨*ἂν*⟩ *εἶναι* Cour. ‖ 11 *ταυτὰ* M, *ταῦτα* FRDVL, *ταῦθ'* N ‖ 12 *πειρωσόμεθα* A, *πειρασώμεθα* GN ‖ 13 *γράψωμεν* NR, *γράψῶμεν* K | *ἐξαπατῶ* A ‖ 14 *ἱππονεία* I.

**II,** 3 *ὄφελος* (?) B, *ὤφελος* KE | *εἴη* om. ME | *εἰ* om. G ‖ 4 *ἔχῃ* ME | *ὑποκειμενον* A ‖ 5 *πελεμιστεριον* A, *πολεμηστηρίον* DGK | *ὤφελος* E ‖ 6 *πάντ'* K | *ἔχοι*] *οι* in ras. E, *ἔχῃ* MM[a] ‖ 8 *ἂν ἄν τις* B ‖ 9 *πολλοὶ* N ‖ 10 *λανθάνει* A ‖ 11 *καὶ* alterum] *ἢ* D ‖ 14 *βαίνωσι*
στραβοὶ
I | *ἰσχυρωτάτῳ* K | *μαλακοτάτῳ* K ‖ 15 *βλαισαὶ* A, *βλεσοὶ* N, *βλαισοὶ*
οἱ στραβοὶ
K, *οἱ βλαισοὶ* I ‖ 17 *τὸ δάπεδον* P, *τὸ δαπέδῳ* L | *ἢ* G, *οἱ* E ‖ 18 *ἠρξάμετα* A ‖ 20 *κυνοπόδων* N | *μήτ'* K.

**III,** 2 *μᾶλλον* post *σκέλη* positum, sed signo priscae sedis addito, L ‖ 3 *τὰ ὀστᾶ ταπεινὰ* N ‖ 5 *ἐμβώλοις* V, *ἐν μώλοις* I, *ἐν μόλοις* K | *μεὶν* A ‖ 6 *στήρυγγες* G ‖ 9 *σκίρρους* Leuncl., *χείρους* Steph. (*γρ. χείρους* mg. D) | *γίγγεσθαι* A ‖ 11
ό
*περώνη* G, *περῶνη* K, *περωνη* L ‖ 12 *ἀπέδειζε* A ‖ 13 *βαδίζει* N |
οις
*ἰκάζεις* G | *ἱππεύοντα* post *σκέλη* (l. 14) positum K ‖ 15 *κάμπουσιν* A ‖ 16 *ἀκοπότερον* D ‖ 17 *τὸν ἵππων* GI, *τῶν ἵππων* K | *παρέχοι* V.

**IV,** 2 *ὅτα* A ‖ 4 *εὐθυέστερα* G ‖ 5 *πετὴς* A, *προσπετὴς* I, *προ-*
γ
*πετῆς* M ‖ 6 *ὀρθῶς* GP ‖ 7 *συγκαπτὴν* B, *συγκαμπτὴν* GI, *συμκαμ-*
τ m²(?)
*πτὴν* K, *συγκαμπὴν* M, *συγκαμπὴν* (*πη* in ras: *τ* erasum videtur) E, *συγκαπὴν* VN ‖ 8 *ὅτω* A ‖ 9 *δὲ* Q, *δ'* S, om. cett. ‖ 10 *βαίζεσθαι* A ‖ 11 *εἰ* om. N | *θυμωειδὴς* G ‖ 12 *ἐγκάπτοντες* ABLVM, *ἐγκάμ-*

*ποντες* G ‖ 14 *ἡ σκληραὶ* K ‖ 16 *ἐξώφθαλμον* ABDLVFR, *ἐξόσφθαλμον* I, *ἐξ ὀφθαλμῶν* K ‖ 18 *δ'* om. D ‖ 19 *εὐπνοώτεροίτεροίτ' ἅμα* K ‖ 20 *γοργώτερον* A, mg. B: *φοβερώτερον, ὡς ἀπὸ τῆς γοργοῦς* ‖ 21 *ἢ* V | *εὐρύνει* ALK ‖ 23 *ὦται* B | *μικρότατα* K | *τὴν* bis repetitum I.

V, 1 *ἀποφαίνῃ* R ‖ 2 *τὴν ἕδραν ἀσφαλ.* L | *τὴν*] *ται* A ‖ 3 *πρόφυσιν* R ‖ 4 *ἐγαθῆσθαι* I | *μαλακωτέταν* V ‖ 5 *ἡδιῶν* (ω corr. ex o) A, *ἡδίω* ME, *ἡδείων* K ‖ 6 *εὐχιλότερον* D, *εὐχιλώτερον* AB, *εὐχειλότερον* cett. ‖ 7 ⟨*τὸ*⟩ *πολὺ* Dind. | *ὀσφῆς γε* K, *ὀσφύς γε* ADFRM, *ὀσφὺς γε* BE ‖ 9 *αἴρεται* ADLI ‖ 10 *δὲ* om. R | *μικρώτατος* K | *ὅσπερ* LNR (corr. ex *ὡς*-), *ὥσπερ* VEKI ‖ 11 *μέν τι*] *ι* in ras. G, *μέντοι* K ‖ 12 *ἀστενέστερον* A ‖ 13 *μὲν* (*μὴν* superscr.) K ‖ 14 *ἵν'* K ‖ 15 *κουφώτερα* K ‖ 17 *ὑπὸ*] *ἐπὶ* G | *ἦν* K ‖ 18 *πλατεῖς τε καὶ μὴ διεστραμμένους* Cour. (ex Aps. p. 14) | *γραμμῇ*] *τράμει* Hermann | *διαρισμένους* I | *ἔχει* N ‖ 20 *γοργωτέραν* A ‖ 21 *αὐτῶν* D | *τεκμήραιον* I, *τεκμήριον* Brodaeus.

VI, 1 *γῆς* om. R | *ἄβασται* A ‖ 2 *μᾶλλον* om. E ‖ 3 *συμμεμηκότες ἐπιχειροῦσι* I | *αἵρεσθαι* MV ‖ 5 *καὶ*] *ἢ* N ‖ 6 *αὐτῶν* N ‖ 8 *καὶ* om. N ‖ 9 *τίς* DVGE ‖ 11 *προιέντος* V ‖ 12 *μάλ'* K ‖ 13 *ἔχοι* R ‖ 15 *εὔπαιδος* (o superscr.) L | *δὴ καὶ ἰσχ.* L ‖ 17 *αὐξανόμονοι* A | *θαρροῦντες* A | *δοκιμάζιμεν* I ‖ 18 *εὐχρόυστροι* ME ‖ 19 *γίνονται* D ‖ 20 *δεῖ* (////// superscr.) E | *πολεύειν* (ωm² superscr.) M | *ἦμν* A ‖ 24 *καὶ τῷ* EKI.

VII, 1 *ἱππικὴν* ⟨*ἢ μανθάνειν*⟩ Richards, *περὶ ἱππικῆς σπουδάζειν* vel *ἱππεύειν μανθάνειν* Cobet ‖ 3 *τῶν πολεμικῶν καὶ τῶν πολιτικῶν μᾶλλον* D, *τῶν πολιτικῶν* (β) *μᾶλλον* (α) *καὶ τ. πολεμ.* L | *πώλωσιν* A ‖ 4 *γινώσκων* Q, *γιγνώσκω* KIP | *πολείας* A ‖ 5 *ὅπερ* Zeune | *παῖδ'* K ‖ 6 *τέχνῃ* Cobet ‖ 8 *δεῖ*] *δὴ* N ‖ 10 *πῶλος*] *ἵππος* N | *μωλοδάμνη* A, *πολοδάμνη* V ‖ 11 *τῶν γὰρ τοιούτων* Steph. ‖ 12 *ἐπιστῆται* DVLFR ‖ mg. G: *ὁ νοῦς οὕτως· δεῖ φησὶ τὸν πωλοδάμνην μηχανᾶσθαι τοιαῦτα ἵνα ἀναχωρῇ καὶ ἐᾷ τὸν πῶλον μόνον μὴ ἔχοντα βρῶμα ἢ πῶμα. τοῦτο γὰρ δηλοῖ τὸ μετ' ἠρεμίας. ὅτ' ἂν δὲ ἔλθῃ ὁ αὐτὸς ἱπποκόμος πρὸς τὸν πῶλον ἵνα εὐθέως διδῷ αὐτῷ τροφὰς καὶ ποτὰ καὶ τὰ τοιαῦτα. τούτου γινομένου, ἀεὶ ἀγαπηθήσεται ὑπὸ τοῦ ἵππου.* ‖ 13 *παρασκευάζειν* ante *οἴκοι* (l. 11) transtulit Schn. | *μετὰ ἡρεμίας* FRV, *μετὰ ἡρεμίας* D, *μετ' ἠρεμίας* I ‖ 14 *πιεῖν* corr. ex *ποιεῖν* D, *ποιεῖν* V ‖ 15 *ἀπαλλάττεσθα* A, *ἀπαλάττεσθαι* B ‖ 16 *τῶν γιγνομένων* V | *μή* om. G ‖ 17 *πώλω* A, *πόλων* V | mg. B: *διαμφότερον* (?) *τοῦ φιλεῖσθαι καὶ ποθεῖσθαι* ‖ 18 *ψηλαφωμενῶν* A, *ψηλαφομένων* V | *ἵππος*] *ἵππαρχος* FNR | *μάλιστ'* VK ‖ 19 *λεσιώτατα* V | *αὐτὸ* K ‖ 20 *τι λυπῇ*] *πλυπῇ* A, *τι*

λυπεῖ K ‖ 21 ὄχλον F ‖ 22 ψήφοις A ‖ 23 ὁπόσα M²E | φοβεῖται K | χαλεπαίνωντα I ‖ 24 πραῦντα A | ἐστιν MM²E.

VIII, 1 γράψωμεν N | αἵ A ‖ 3 τις om. N, τίς AB, τἰς DE | mg. G: δεύτερος μέρος περὶ τῆς ἱππωνείας | mg. B: ὀδόντες τινὲς τοῦ ἵππου γνώμονες καλοῦνται | ουτ'] ὅτ' A ‖ 4 ουτ' K | γίνεται F ‖ 5 νεώτης K ‖ 7 δὲ A, δ' cett. | ἥκιστ' ἂν] ἥκιστα L | λανθάνει M ‖ 8 ἐμβάλοιτο (οι m²) FNRO, ἐμμβάλλοιτο I | δὲ A, δ' cett. ‖ 11 προσίεται A, προσίέντα V ‖ 12 προσιέμενοι L, προσέμενοι corr. in προσεμένοι G, προσεμένοι K | ἀναγκασθήσοται A ‖ 13 ἀναβασθεὶς D, ἀναβηθεὶς (η in ras.) E | ἐθέλοι M²E | ἥ A | mg. G: ὃν λέγουσιν νῦν στασιώριον ἵππον. ‖ 14 αὐτοὺς (τούτους in mg.) D ‖ 15 ἀμφόδους DL, ἐφόδους E ‖ 16 mg. G ἑτερογνάθους λέγει τοὺς καλουμένους σκληροχαλίνους ‖ 17 παίδη B | πολὺ μᾶλλον δὲ D ‖ 19 ἐγχειροῦσι B | ἐμφέρειν I ‖ 20 μὴ N ‖ 22 μὴ om. K ‖ 24 οἰκέτις G | στράτευμα ἀπειθές] ἀστράβη ἀπειθής Cour. | στράτευμ' K.

IX, 1 ἀπειθεις N | δ' K | ἄχηστος A ‖ 2 καὶ πολλάκις καὶ N ‖ 3 πολεμηστήριον K | ὑπεθέμαθα A ‖ 4 ὅσονπερ I | λαμβάνειν I ‖ 5 διαπειδᾶν N ‖ 6 — 8 ἐπ' ὄχθους — λαμβάνειν in mg. N ‖ 7 καὶ prius om. E | ἐλαύνοτα A ‖ 9 πάνυ in mg. D ‖ 10 ποιοῦντ' K ‖ 11 ἄποροι V | ἐλείπονται K ‖ 13 πάντα om. D | εἶεν] εἰσι Cour. ‖ 14 φύσει om. I ‖ 17 ἐνέβαλλον G, ἐνέθαλον A ‖ 20 χαλεπα A | γίνεται FNRVL | δέ] λε R.

X, 1 χαλινῶν NRSLZ | ἀποκωπλύσεις B | καὶ bis rep. I | τἆλα A | δὲ νάματα N, δυσνεύματα Zeune, ἐκνεύματα Brodaeus, ἀνανεύματα Weiske ‖ 2 τίς VG ‖ 6 καθαρᾶς I, καρθερᾶς S | ἰπεῖν K ‖ 7 ἀρκούντος corr. in -τως A ‖ 9 τὲ K ‖ 10 ἀναβάτῃ NRL, ἀμβάτῃ cett. | ἐν τοῖς πολε ἐν τοῖς πολεμικοῖς A ‖ 11 πολλῇ A ‖ 14 γε] τὲ K | ἀγαθοὺς R | ἵππον in mg. G ‖ 16 πλιστάκις G | αὔξεται ὄψεται (αὐξ. lineola deletum) K ‖ 17 δ' E | κατεκευάσθαι R | κώστε A ‖ 18 τε DL ‖ 19 ἐκ τοῦ—τούτον in mg. I | ταμεῖον L | ὃ A ‖ 21 αὐτοῦ FRGKI, αὑτοῦ ABDV, corr. in αὐ. E, ἑαυτοῦ M ‖ 22 ὁμόνον A ‖ 23 ἐχωρὸς A | ἱππῶν ABGK, corr. in ἱππών m²M, ἵππων I ‖ 24 ἀλ' A | μή del. Dind. | ἐκομίζῃ A, ἐκκομίστη N.

XI, 1 γιγνται A | αἰσθόμενος NR | γιγνώσκει B ‖ 2 ὑπερεμοῦ K | κόπου corr. ex κώπου A | ἐνόντως GIKP ‖ 3 ἀναπώσεως A | τίς B | ἀρκωστία A | ἔστι] ἔτι M ‖ 4 δὲ A, δ' cett. | εὐιατότερα B, εὐιτότερα A, εὐιατώτερα cett. ‖ 5 ἐνσκιρωθῇ AB, ἐνσκιρρωθῇ DLVFNROQZ, ἐνσκιρρωθῆται om. τε S, ἐνσκειρωθῇ MEKG, ἐν σκειρωθῇ I, ἐνσκληρωθῇ Castalio | ἐξαμαρτηθῇ „non sanum“ Cobet ‖ 6 γυμνασιῶν AR ‖ 7 ἰσχυης ut videtur L ‖ 8 σταθμὸν A | λυμένεται I ‖ 9 εἶεν E | δεῖ δέ — ὑγρά, εἶναι Leuncl., δεῖ δέ — ⟨ᾖ⟩

ὑγρά, εἶναι Schn., ἄριστα δέ — ⟨ᾗ⟩ υγρά, εἶναι Madvig, ἔσται δή, ὡς — εἶναι, Steph. ‖ 11 πρὸς ἀλλήλους παραπλησίους in mg. I | πρὸς ἀλλήλοις — μέγεθος ⟨οὔ⟩. Hermann ‖ 12 γὰρ] γοῦν Cour., γε Christianus | κἂν ἐφ. θαμὰ Cour., ἐφεστ. στερεοῖ ⟨τας ὁπλὰς καὶ ἅμα κρατύνει⟩ τοὺς πόδας Schn. ‖ 14 τὸ] τὸν I ‖ 15 τῆς om. K | ἀπὸ τῆς φάτνης in ras. A | ἐπεὶ R | ἴῃ] ι in ras. E, εἴῃ GK ‖ 16 ὡς δ' ἂν αὖ — κρατύνοι, [εἰ] — μναιαίων, κατάβαλλε Schn., sed in addendis: ὧς δ' αὔτως | ἂν om. DLFNRSQVZ | αὖ om. O | ἔξω σταθμός FNRDLVGK, ἐξώσταθμος ABM, ἐξώσταθμὸς E, ἐξάσταθμος I | καὶ ⟨αὐτοὺς⟩ τοὺς Schn. ‖ 17 κατειρύνοι V, κατ' εὐρύνοι (ευ in ras.) G, κατευρύει K, καταρρωννύοι vel κατευθύνοι Leuncl. | ἀμφιοδίων Leuncl. | ὅσων DLVGKIP, ὅσω MMᵃE | μνααίους MᵃEKIP, μναϊαίους cett. | verba ὅσον μνααίων delenda dicit Cour. ‖ 18 καταβάλοι LV, καταβάλλοι cett. ‖ 19 περιχιλώσας MELGKI, περιχυλώσας FNR ‖ 20 ἑστηκὼς ⟨ψήχεται καὶ⟩ — πορεύεται Schn. | καὶ ἀεὶ K ‖ 21 ψυχόμενον K.

XII, 1 καθάπου A | βαδίζει A ‖ 2 χεληδόνας K | οὕτως VGI ‖ 5 δεῖ ⟨χειρῶν τριβῇ καὶ ὕδατος χλιαροῦ προσβολῇ καὶ ἐλαίου ποτὲ ἀλοιφῇ⟩ e Poll. Kuehn ‖ 6 στόμ' K ‖ 7 ἡμῆν A ‖ 10 ἅμα G ‖ 11 τῇ om. K ‖ 13 ἔστα A | ποιήει K | ἐλκαμένων A, ἐλκομένων I, ἐλκουμεμένων K | γε μὴν bis repetita cum signo dubitationis N ‖ 15 δυοκαλώτερον A ‖ 17 ὑ ///// στρώματα M, ὑγρὰ στρώματα E ‖ 18 ῥᾷστ' K | ἀπαλάττοι B ‖ 19 ἰδέναι G | χὴ A.

XIII, 1 καλλίστραν G | ὅπη D ‖ 2 ἄγει GKIML, ἄγοι F | mg. G: κημός ἐστι τὸ λεγόμενον καπίστριον. καλίστραν εἶναι λέγει ὅτ' ἂν ὁ ἵππος κυλύηται. καὶ ἴσως ἑλληνικώτερόν ἐστιν λέγειν ὅτι καλύεται (ὀν ον) ‖ 3 ἐπιβαλλεύειν A ‖ 4 τῶν ἵππων G ‖ 5 πάτα A | ὁπόσ' K | δυσκολαίνῃ Brodaeus ‖ 6 ὁ om. I | ἐκνεύει N ‖ 9 ὄντω A ‖ 14 χερσὶ (οι) A | ἀπαλύνει A ‖ 15 βλάπτη K, βλάπτει G, βλάπτει corr. in — οι R.

XIV, 1 προσκόμιον (ες) I ‖ 2 τρίχεις R ‖ 3—4 τοὺς θεοὺς NRLVSOQZ, τὸν θεὸν EIP, τῶν θεῶν K ‖ 4 δεδωκένα A, δεδοκέναι G ‖ 5 ὤτων] ὄντων I ‖ 6 ἀλεξιτήρια FRMEGI | ὀμάτων G ‖ 7 ἐπείπερ αὔξειν χρὴ ἐπείπερ αὔξειν δεῖ G ‖ 8 ἐξικνούμενος I, -μεναι NRLSOVK, -μέναις (αις) MᵃE, -μενος P ‖ 9 τραχύλῳ R ‖ 10 ὡς ἀφθονοτάτη in mg. G ‖ 11 τῶν NR, om. cett. | θεῷ A | ἕνεκεν AB, -κα cett. ‖ 12 ἵππων in ras. add. m. rec. G ‖ 14 ἀποκτείνουσι G | τοὺς G, τους K ‖ 16 ὠφελεῖν G | μὲν om. K ‖ 18 ὑπογαστέραν N | καθαρσι A ‖ 20 λυποῦντ' K ‖ 21 διαπονήσι ταῖ τις A | τις] τε L ‖ 22 τ' A, τε vel τὲ cett.

XV, 1 ἐὰν RKG ‖ 4 αὐτῷ G | ὠφελημώτατα KI, ὠφελιμότατα
οι
G | ψήχοι NRKI, corr. ex ψύχοι V, ψήχῃ EK, ψήχει L ‖ 6 στόνατι R | εἰς FNRK ‖ 9 χεληδόνα GKIP ‖ 10 ἀνυψῶν Cour. | δὲ A | καὶ bis repet. D ‖ 11 δὲ om. G ‖ 13 τὸ //// A ‖ 16 ἑαυτῷ ⟨τοῦτο ποιοίη⟩, vel πλεῖστα δὲ ⟨ἐπικουρῶν ἵππῳ⟩ δύναιτο ⟨τοῖς πρὸς ψῆξιν⟩ χρῆσθαι Weiske ‖ 17 δύναιτ' ἂν NRVL ‖ 18 καὶ ante τὴν add. m² E ‖ 19 ἔστι φυλάξασθαι] ἐπιφυλάξασθαι G ‖ 20 οὕτω FNRDME, οὕτως BLVKIG.

XVI, 1 τὸ VE, corr. ex τῷ ead. m. Mᵃ, τῷ LK, ὧ R ‖ 3 γὰρ om. K ‖ 4 βούλεται D | πλαγίων BMEGKI, -γιῶν ADVF, -γικῶν in ras. R | κακούγειν A ‖ 5 ἀθροίη δὴ K | οἱ ἵπποι V ‖ 6 πετε A | δυναιτο A, δύναιντ' ἂν N ‖ 9 τῷ ἀναβάτῃ om. DL | ποτ' K ‖ 10 θελήσειεν, in mg. δεήσειεν, L | ὁ om. I ‖ 11 ὀρθῶς bis rep., prius lineola deletum, G ‖ 12 τἀριστερὰ G | τὰς om. V ‖ 14 καρυφαίαν A, κορυφαῖαν GKI | αἱρέτω ME, αἱρέτε A | στόμιο A ‖ 16 ἔχοτα A | δεῖ A, δὴ N ‖ 17 μέγα R ‖ 19 μὴ δ' libri ‖ 20 πιεσαίτω I, πιεσσάτω M | κυνόδοντ A ‖ 23 ταῖς ἡνίαις ed. Welsiana ‖ 25 πῃ ἀναίσθητον Weiske, [μὴ] ἀν. Leuncl. ‖ 27 μεὶν R.

XVII, 1 παρωξύνθαι LVRQOSZMᵃ, παροξύνθαι KIP, παροξύνε-
ο m. rec.
σθαι E, -ξυνθύναι N ‖ 2 πονεῖν LVNROSZ, πνεῖν MᵃKIP, πνεῖν E | δὴ] δεῖ MV | μέγ' B ‖ 4 πατάπασιν A ‖ 5 μελλῇ corr. ex μελλει A, μέλη E | τὸν om. D ‖ 6 ἀπάγῃ τε K ‖ 9 τ' K ‖ 10 γένηται NR ‖ 11 ἥ A ‖ 12
υ
ἀναβαλοῦντ' K, ἀναβαλοντὰ A | ἐπιχαρίσηται ABD, ἐπιχαρήσηται
β α
(-εται I) cett. | ποτε μὴ D ‖ 14 ἄριστον πρὸς ἵππον E | ἵππον] ἵππαρχον N ‖ 15 ἐξεργάζηται G | μεταμέλειν DLVFR, μεταμελλειν A, μεταμέλλειν cum signo dubitationis N, μεταμελεῖν BMEGKI ‖ 16 τί VKMR, τὶ ADF ‖ 17 οὖν ἀπτόμενον — εἶναι ἵππῳ εὐκαρδίῳ
β α
Schn. ‖ 19 πρόος N ‖ 20 παρέχουσι φόβον D | παρέκουσιν A ‖ 22 μὲν R ‖ 24 ὑποβιβάζεσθαι corr. ex -σεσθαι K, ὑποβιάζεσθαι V ‖ 26 νομίζωμεν K ‖ 27 ἄλλοις ἵπποις Castalio.

XVIII, 1 παραδέξεται N ‖ 2 γράψωμεν KR ‖ 3 καὶ om. MKGI, add. m² E | ἐν corr. ex εἴη B | ἐν τῇ ἱππικῇ del., vel in ἐν τῇ ἱππείᾳ
ε
aut ἱππασίᾳ corr. Dind. ‖ 5 ψαλλίον L | ἀριστερὰ G ‖ 6 χαλαρὸν I, χαλερὸν K | ἀνιὼν IK, ἀνιῶν LVNRE, del. vel in ἄνωθεν corr. Cour. ‖ 7 μήτ' AMEK, μήτε cett. ‖ 9 ἀκρομίαν N | λαμβάνεται D ‖ 10 μὴ K | σπάτῃ I ‖ 11 ἐπεὶ δὲ N ‖ 12 ἀνειμάτω MEGKI ‖ 14 οὐδ' K | παρέξ A ‖ 15 σκέλη E | γόνι N ‖ 16 ὑπερβιβασάτω Cobet ‖ 17 κνήμη A | τότε] τῷ τε K ‖ 22 δεξιοῖς] οις in ras. A ‖ 23 ἕνεκεν A, ἔνεκεν B, ἕνεκα cett. ‖ 24 ὅτι om. V ‖ 25 κατασκευασμένως B.

XIX, 1 καθῆται N, καθέζηται A | ψιλοῦ] γυμνοῦ suprascripsit

m$^2$ G | τ' K | ἐφιππίον DGK, ἐφ' ἱππίον alterum ι in ras. E, ἐφιππείον cett. || 3 ὀρθῶσαν διαβεβηκότοιν Leuncl. | τὴν σκελοῖν B || 5
οι
ὀρθὸς ////// ἐρρ. E || 8 προσκόψιέτω A || 9 προσπίπτει V || 11 ἴσχιται compendio A || 13 τὶς D, τίς MKV | ὠθείη DME || 14 ἠρεμεῖν ADKI, corr. ex ἠρ. B || 16 δορυλαβεῖν L || 17 εὐφορότατον G || 18 εὐσταλώτατός FNR || 19 ἔστω K | χεῖρ' K || 20 μὴ δ' K || 23 σημαίνῃ corr. in σημήνῃ N.
τερος
XX, 1 κουφαγωγότερος NRLVKI, κουφαγωγότατος E, -τατος M$^1$ | ἢ add. m$^2$ I || 2 ἀνακεκηφώς R || 4 ἀλυπώτατα K | ἐπὶ ῥαβδοφορεῖν BMKI, ///////// ῥαβδοφορεῖν rasura lineola expleta E || 5 ἥκιστ' Cour. | ἀφικνεῖτο K || 7—8 τῷ ἀριστερῷ olim, τῶν δεξιῶν postea Hermann || 8 ἐπὶ τὸ ῥαβδοφορεῖν NRKI, ἐπὶ τῷ ῥ. VLE || 10 εὐώνυμ' K | ἐπικλήσεως K, ἐπὶ τῆς κλίσεως N || 11 ἂν ἄρχοιτο VEI | γὰρ — δεξιὰ in ras. I || 13 δὲ A, δ' cett. || 15 ἵν' K | ἵνα — γνάθοι in ras., ut videtur, A || 16 αἱ om. FNR || 17 ἑτερομίκη R || 19 πληρες N | τότε AI, τό τ' K || 20 ἀποκάμπειν A || 21 τροφαῖς N.

XXI, 1 κἀναπώκροτον K, κἂν ἀπόβροτον G | ἢ V || 2 ὑπολαμβάνει corr. in -ῃ B || 3 εὖ add. m$^2$ G || 4 μακρὰ E || 5 τροφῆς N || 6 βλέπει VMEGKI || 7 ὁρμαμάτω A | πολέμοις M$^1$ || 8 εἰσι A | ἢ αἱ τοῦ διώκειν E, αἱ τοῦ δ. cett. || 13 ἐγγυστάτῳ I || 14 στρέψατα A || 15 ὅτ' K, ὅτε add. m$^2$ I | τούτω A || 16 μήτ' K | μήτε — καταβαίνειν in mg. D || 17 μήτ' AK, μέτ' B, μήτε cett. || 20 ἔστιν AD, ἐστιν B, ἐστὶν (ἐστὶ G) cett. | καὶ om. N.

XXII, 1 τε] τα K | αὐτὸν MM$^1$E || 3 τι corr. in τις m$^2$ L || 4 λέγωμεν N || 5 ταῦτ' ABKE, ταῦτα vel ταῦτά cett. | ἐωνείτω MEGI, ἐωνεῖτω K || 6 δύνατο G || 7 τὸν alterum] τὸ GI, corr. in τὸν MD || 9 τὴν] τὸν K || 11 ἔχον K | τίς AFVM, τὶς DE | μέγιστα R, μάλιστα N || 12 ἰσχυρώτατα K || 13 τοῦ] τὸ DLFRNMK, corr. in τοῦ m$^2$ E || 14 ἢν A, ἣν K | ἤδη MEVKI, corr. in ἴδῃ G | ἀπελθόντα FNR || 15 ἀναβεβικός A, ἀναβεβηκός N || 17 μέλη A | τῷ om. LN | ὡσαύτων A || 18 καὶ καταπηδᾶν bis repet. A | διδάσκειν LVKIP, -σκων NR || 19 ἀθρόως K || 21 ἀσφέστερον I | ἂν ἐλλείπῃ m. rec. mg. E, ἀνεναεὶ πῇ LRV, ἀνενα εἰ πῇ EI, αἰεναεὶ πη N, ἀνεναειπῇ K, ἐκλείπῃ Brodaeus, ἀπολείπῃ Leuncl., ἀπείπῃ Castalio | ἀδιαπηδῶν GKIP || 22 εἴ AKIR || 23 διδάσχειν I || 26 τὰ bis repet. A, om. G.

XXIII, 1 μαθόντες in mg. N || 2 κατάντι GN, κατάτη D || 3 οὐδ' K | ὅπων corr. in -ως m$^2$ E || 5 ὑποδύο V || 6 ἀνλαμβανομένου I || 7 ἧττον A, ἧσσον cett. | γὰρ om. R || 8 ˝θιον A, ὄρθριον K | ἱεμένον VKR, ἱεμ. cett. | καλὸν R, κακὸν VKI || 10 βαρύνεται VL || 11 ὑπτιαστέον Steph. | ἀτιληπτέον A || 12 μήτ' K || 13 φέρται A || 14 δὲ DFN | ἄλλο τεκὲν A || 16—17 ἀμισέστερα — ποιεῖσθαι in mg. G | τῷ ἵππῳ καὶ ταῦτα L || 18 δεῖ] δὴ N | ἐν add. m$^2$ I | παντίοις

NK | τε add. m² I | ἀνακράτος ABDFMKI, -τως R | ἐλαύνοντ' B | ἐλαύνοντα ἀνακράτος cum signo transpositionis L ‖ 19 ἕπποχον G ‖ 22 ὑπάρχει LVNR, -χῃ EI, in ras. K ‖ 23 φεύγῃ NR, φεύγει cett. ‖ 24 τοὔπισθε E | μεταβαλόμενος NR ‖ 25 διώκει DLV | ἐσφερωμένα G, ἐσφαιρομένα V | τ' K.

XXIV, 2 σφερωτοῖς G, σφερωτοῖς (αι) I ‖ 4 ἑλκύσαντα NR, ἑλκύσαντες cett. | ἑαυτῶν (?) compendio M | τὸν om. N ‖ 5 ἀποσῶσαι K ‖ 6 δ' K | ἀπελαύνειν Leuncl., ἐπελαύνει N ‖ 7 ἕκοντα A ‖ 9 ἀνθιππεύωσ A, ἀθιππεύωσιν N, ἀνθιπεύωσιν E | διωκοῦσι N ‖ 10 ἐναντίους N ‖ 12 τίς BMVGIK, τὶς ED | ἐμπρώτοις L ‖ 13 ἐπιστρέψαντ' K | δὲ DG ‖ 14 ὕστω A ‖ 17 ἔδωσαν I ‖ 19 ὡς] ὅς Schn. | βούλῃ NR, βούληται cett., ⟨σὺ⟩ βούλῃ Cour. ‖ 20 κολάζῃς NRE ‖ 21 ἐστι A ‖ 22 ὅλοις R ‖ 24 ἀποβαίνοι NR, -ῃ EKI, -ει LV.

XXV, 1 ὑπηρετείη (σ m²) K | προδοκοίη E | σημενόμενα G ‖ 3 ταῦτα ⟨μαθόντι⟩ ἔστι ⟨γνῶναι⟩ Herwerden | ταῦτ' ἐστὶν A, ταῦτ' ἐστιν B, ταῦτά ἐστιν cett. | ὡς] ὧν NR | 4 μὲν om. IE | καὶ ἵππον καὶ πῶλον LD ‖ 5 δ' ἂν om. K | διαφθείραι NRM², διαφθεῖραι LVEKI | ἵππον NRV, ἵππον εἰ cett. | εἰ ἵππον ἀποδεικνύειν δέοι Leuncl., ἵππον ⟨ὑπηρετοίη⟩ εἰ ἀπ. δ. Haasius (R. Lac. XI, 5), ἵππον [εἰ] ἀποδεικνύοι [δέοι] Schn. | ἀποδακνύειν MGKI ‖ 7 συμβαίνοι Steph., συμβαίνῃ I ‖ 8 θυειδεστέρῳ K | ἵππον B ‖ 9 ὀρθότα (τα m²) G, ὀρθώτατα K ‖ 10 ἔστι AD, ἐστι B | ὥσπερ V ‖ 11 ἥκιστα FNRDLV | ἐξοργίζοι E, ἀργίζοι I | τίς VMGK, τὶς DE ‖ 12 οὐδὲν L ‖ 13—14 θυμοειδῆ — ἐν τῇ om. LD | 13 θυμοειδῆ] θυμὸς εἰκῇ MEGKI | ἵκιστ' R | ἐξοργίζοιτο MEIGKP, ὀργίζοι S | 14 ἥκιστα FNRVLME ‖ 15 λυπῇ NR, λυποίη Cobet | ἠρεμίσαντα K ‖ 16 τυχόντα Leuncl. 18 αὖ] ἂν DLI | 18—19 εἰς τὸ ταχὺ (om. θᾶττον — εἰς τὸ) R ‖ 19 αὐτὸν BVLMGKI ‖ 20 ἵππον ⟨μάλιστα ἐκταράττει⟩ Weiske ‖ 21 ἐξωπίναια (α) N | 21—23 καὶ ὁράματα — ἐξαπίναια om. V | 19—23 εἰδέναι δὲ χρή, ὡς ὅ τι ἂν ἐξαίφνης σημαίνῃ θυμοειδεῖ ἵππῳ, ὥσπερ ἄνθρωπον ταράττει — παθήματα, οὕτω καὶ ἵππῳ τὰ ἐξαπίναια τάραχον ἐξεργάζεται Schn. | 23 τάρχον R | ἐξεργάζεται incipit H.

XXVI, 1 ὑπολαμβάνῃ N | βούλῃ NRV, βούλει cett. | θυμοιδῆ A ‖ 2 οὐ δεῖ AB, οὐ δὴ K, οὐδὲ V | ἠρεμέως MEK ‖ 3 βαιζόμενος A | ἠρεμεῖν del. Herwerden, ἠρεμεῖν ABD ‖ 4 ἐλάσεις AB | ἀποστραφαὶ A ‖ 6 ἂν ἐγείρουσι VGKIP ‖ 8 ποιείσας R ‖ 9 γιγνωμένου L ‖ 10 θυμωειδὴς G | ἄττειν Herwerden ‖ 12 τὸν om. IH | ἀνήκεστ' K ‖ 13 τοῦτο IH, τοῦτ' K, τοῦτο (ν m. ead.) E, τοῦτον cett. τάχιστ' K | ὁρμώμενον Cour. ‖ 14 δὴ] δεῖ DLVFNR | παραβαλεῖν

N ‖ 15 γὰρ om. E | θυμοειδέτατοι V | φιλονικότατοι AN, -νεικότατοι cett. ‖ 18 λειώδη LK, ⟨τῷ⟩ λείῳ δεῖ vel λειωδεῖ δεῖ Leuncl. ‖ 19 μάλιστ' K | ἥκιστ' K ‖ 21 ἕνεκ' K ‖ 22 δίδαμα A | ποππισμῷ A, ποπυσμῷ L.

**XXVII,** 1 δ' K ‖ 2 τῷ ποππυσμῷ K | προσφέρει AK, corr. in -οι I ‖ 3 ἀγειρεσθαι M | 4 παρὰ κραυγὴν A, παρακραυγεῖν IH ‖ 5 φαίνεσθαι OEIHP, προσιέναι LVSZNRK, mg. O, -ίεσθαι Q | τεθορυμημένον (ὁ superscr.) I ‖ 7 ἀνπαύειν A | 10 μ A ‖ 11 θυμοειδῆ AMR, -ει corr. in -η E, θυοειδῆ K ‖ 13 χρῆσθαι τῷ del. Cour., ἱππάζεσθαι (l. 15) potius Iacobs ‖ 14 μεγαλοπρετεστέρῳ B ‖ 16 μυωπίζειν ///// ται K ‖ 17 οἴοντα A ‖ 19 τε] γε EKIV | προορμᾶν Cobet ‖ 22 μάλιστ' K ‖ 23 καὶ prius om. E | οὐ om. K, add. m. rec. I | διάδάξῃ B ‖ 24 χαλαβῷ K | τῷ χαλινῷ in mg. N ‖ 25 διαίρειν] αἴρειν vel δὴ αἴρειν Herwerden.

**XXVIII,** 3 Vulgatum αὖθις θέλῃ in εὐθὺς θέλῃ correxerat Leuncl., in αὖθις ἔλθῃ Steph. (ἔλθῃ et mg. FR), in λυθεὶς θέῃ Iacobs (θέῃ m² Mᵃ) | δ' K ‖ 4 τότ' K | αὐχέν' K ‖ 5 γούμενος, spatio trium fere litterarum post κεφαλὴν relicto, A ‖ 9 γουργὸν K | περίβλεπον B | ἀποφαίνῃ G ‖ 12 χαλινοῦν V ‖ 13 δ' ABK, δὲ cett. ‖ 14 ταπεινούς] πυκνούς Schn. | δὲ χιτίνους LVNROQSZMᵃH, δ' ἐχιτίνους EKIP ‖ 15 ἵν' K ‖ 16 τοῦτ' K | ἀφείῃ MEGKI ‖ 17 τὰ δ' K | ἐπαιδεύθῃ Zeune ‖ 19 ἀπαιρείδηται E ‖ 20 τρόχους I ‖ 21 αὐτῷ AI | ἀφείῃ MEGI ‖ 22 δὲ] δεῖ MEMᵃ.

**XXIX,** 2 λάβοι R ‖ 3 δ' FK | ἄλησις K | ἔχοι RL, -ει corr. in -ῃ E | τίς MG, τὶς DV ‖ 4 ἄκαμπον G | δ' K ‖ 5 φεύγων N ‖ 7 ἐκ om. K ‖ 10 τὶ prima sede ADE, τι I | τὶ altera sede ADE ‖ 12 ἄξονε I ‖ 13 περιτίθεσθαι MEIH ‖ 14 εὐρόστομα N | ἐστι I ‖ 15 δὲ add. m² G ‖ 16 ἐστιν N ‖ 17 πάντα ταῦτα EKIP, ταῦτα πάντα LVNR, αὐτὰ πάντα Cour., ἐνταῦθα πάντα vel ταύτῃ πάντα Zeune | ἥνπερ A ‖ 19 οὔτ' K | ὥστ' ABK, ὥστε cett. ‖ 20 οὔτ' K | ἡ σύχος A.

**XXX,** 1 αἴρει (η superscr.) V ‖ 3 ὑπηρετεῖ G, corr. in -ῃ K ‖ 8 προσίεισιν N | ταχίαν, ιαν in ras. D | τὸ K ‖ 11 ἀναγκάσει corr. in -ζῃ D | ὑπερβάλλων BMEIH, -βαλὼν G, corr. in -βαλλὼν K ‖ 12 οὐδὲ τῷ πάντων οὐδενὶ ἥδιον Brodaeus | οὔτ' altera sede K ‖ 14 κύδρον BMEGIK | εἰθισμένος corr. in -ον Z, θισμένος E | μὲν om. LVOQSZNR | ἦν BMEKIP, corr. in ἦν G, εἴη Leuncl. ‖ 16 μεμαθηκότως R ‖ 18 τι add. m² I, τί DVMGK, τὶ E, το A ‖ 22 ἀναζωπυρημένῳ D ‖ 23 ἐνταῦθ' BGK, ἐν ταῦθ' AI, ἐνταῦθα cett. | ὑφρήδονῆς A ‖ 24 λελῦσθαι AB | ηυδρῶμεν? V ‖ 25 τοῖν] τὴν G ‖ 26 παντάπασι I.

**XXXI,** 2 τε] γε N ‖ 3 τίς FMV, τὶς ADE ‖ 6 χήσασθαι A | μάλλα G ‖ 7 δεῖ ὑπάρξαι in ras. A ‖ 10 δυνῆσθαι A ‖ 11 ὀσφὺν ADLFRME, ὀσφὴν N | ἰσχυρὸν MEGKP, om. acc. I | ἔχει

corr. in -η B || 12 ἤ V, ἦ M || 15 ἀνακρούει N || 17 ὥσπερ^{τε} K || 18—20 ταῦτα ἑκὼν ποιῇ τε καὶ δοκῇ ποιεῖν τοῖς ὁρῶσιν, ἅτινά ἐστι τὰ κάλλιστα τοῦ ἵππου Weiske || 19 κάλλιστρα? B || 20 ἑκόν G | ποιεῖ K | δοκεῖ BK.

**XXXII,** 1 τὸ] τῷ K || 2 γνώμης LQVEKIO | παρ' αὐτοῦ om. K || 3 σίμον A || 4 ἔστι A || 5 ὀρχηστὴν in mg. D, ὀρχιστήν A | μαστικῶν A || 6 ποιήει K || 7 πάτα A || 8 κάλιστα A || 9—11 ⟨μὴ⟩ μέχρι — εἰς τό ⟨τε ἱππάζεσθαι καὶ⟩ μετεωρίζειν vel εἰς ⟨ταῦτα⟩ [τὸ μετεωρίζειν ἑαυτόν] Herwerden || 9 ἱποπάζηται A || 10 μετεωρίζει^{η} L, μετεωρίζει ABKGIHN | καταβαίνεται A, καταβένηται GKI || 12 τῶν τοιούτων δὴ ἰδεῖν ἱππαζόμενοι Cour. || 13 ἵππω A || 16 ὥς acc. eraso A | τῶν om. I || 17 ὁρόντων G, corr. in -ώντων K | γερετέων^{αι} G, γέραιτέων I, γειρατέων K | κατέχειν K || 18 οὔτ' — οὔτ' bis repet. K || 19 ἐπιδεικνύηται] ει dubium B || 20 τὸν V || 21 ἤ ἱππαρχῆσαι in mg. I || 22 πολλὺ I || 23 ἀξιοθέκτον A | φανῆται D, φανεῖνται A || 24 ἤ A | ἡγεῖται G | μάλιστ' K || 25 ὅς] ὅ A, ὡς G || 26 ἔποιντο DL || 28 δ' MEP | ἐξαγείρας E || 29 ἡγεῖται N | βραδεῖ AD.

**XXXIII,** 1 εὐθυμώτατοι G || 2 ἀθρόος] ος in ras. I, ἀθρόως N | 2—3 μὲν — ἀθρόον om. I || 4 ἵππον A || 5 ὅσοι συμπαρέπονται Dind. || 6 τίς VM, τὶς DE | ἱππωνήσι A, ἱππονήση V | τρέφει BGK, -ειν N || 7 ἐν om. E || 9 ἀγωνίμασι R || 10 ἐμποδῶν BKGME τοῦτο E | πλείωνός N || 11 [ἤ] οὓς Schn., ἢ οὗ Bornemann ad Conv. X, 13 | παραλαμβάνει B || 13 κωλύει N || 14 γράφαι I | τῶν A || 15 μέλοντα A | κινδυνεύειν bis repet. A || 16 πεποιεῖσθαι GL || 17 γὰρ R, om. cett., ⟨ὅτι⟩ τὸν μὲν Castalio | ἁρμοζ' (?) N | φέρει RN, φέρειν cett. || 18 χαλερόν A || 20 ἐστιν K || 21 τῷ] τὸ H | ποποιῆσθαι A || 23 δέξαιται G.

**XXXIV,** 2 θόρακος N || 3 κωλύειν] κωλύει K, -εις EP, -ῃ cett. || 4 μήτ'] μήτε N | ἐτπικύπτειν A | περὶ δὲ τὸ Leuncl. || 6 μέλη I || 8 χεῖραν R || 9 τε] γε N | τὸν alterum] τὴν K || 10 δὲ om. R || 11 συγκάμπεται corr. in -κάμπτεται E, συγκάμπτετο I, συγκάπτεται BDVLN || 14 τοῦ] τὸ NH | κωλῦον Dind., κωλύον libri (κολύον BK) || 15 γιγλύμοις MEP || 16 διαιρεῖται N, διήρηται LD || 17 ἀναπτύσσονται FMEN, -πτήσσωνται K | καθέρηται N | ἐπικλείονται FNR || 18 ἀρκεῖν παρατιθέμενον βέλτιον Weiske || 19 συνδοθεν G | ⟨τῷ⟩ ὅπλῳ Schn. | μὴν] μὴν ὅπλον V || 20 στεγατέον B || 21 χαλκίῳ BGIKP || 22 ἐπειδὴ δὲ Cour., ἐπεὶ δὲ Leuncl. | πάσχοι A.

**XXXV,** 1 κηνδύνω A | ὁπλείζειν A, ὡπλίζειν K | δὲ δεῖ NR | mg. G: πῶς δεῖ τὸν ἵππον || 3 ἅμα om. L || 4 τῶν corr. in τὸν A || 5 ὧν K || 6 ἐφιππίῳ D, -είῳ cett. | καὶ alterum om. G || 7 ἐρράφται

A | ἀσφαλέστατον H | καθῆσαι G ‖ 8 σήνεσθαι A, σύνεσθαι K ‖ 9 ἱπεὺς A ‖ 10 $^{\pi}$τόδες H ‖ 11 ὠπλησθείη K ‖ 12 σκήτους K | κρηπίδες ABME, κριπῖδες L, κρεπίδες G, κριπίδες DKIP, κρηπίδες — καὶ ποσὶν ηπίδες — καὶ ποσὶν A ‖ 13 ἂν alterum] ἀν᾽ B ‖ 14 ἵλεω M ‖ 16 ὅτι R ‖ 17 ξίφος N ‖ 18 γε μὴν] μὲν δὴ G | καμακίου N ‖ 19 εὖ παλτὰ LRVZ, εὔπαλτα cett. ‖ 20 τῷ] τὸ I ‖ 21 λειπομένο A ‖ 22 ἰσχυρώτερά (ω corr. ex ο) K ‖ 23 εὐφορότερά G.

**XXXVI,** 1 ἀπο$^{\sigma}$τρέψαι B | μεταβαλεῖν IH ‖ 2 ἐγχορεῖ G | βραχὺ K ‖ 3 κράτιστ᾽ K | ἀκοντίζοι] οι in ras. E, ἀκοντίζει K, corr. in -οι I | προσβαλλόμενος N ‖ 4 δὲ alterum ABDL, δ᾽ cett. ‖ 6 μαλακότατον D ‖ 7 ἀμφιεμένη Castalio ‖ 8 ταύτη E | δὴ om. K.

# INDEX VERBORUM.

## *Α*

*B.*

## Δ.

### E.

## H.

## *N.*

## P.

---

**Druck von J. B. Hirschfeld in Leipzig.**


DUE OCT 22 '32

